# Η Θεια Λειτουργια
## των Προηγιασμενων



# De Goddelijke Liturgie
## van de Voorafgewijde Gaven

Grieks - naast - Nederlands

# Η Θεία Λειτουργία
## των Προηγιασμένων

# De Goddelijke Liturgie
# van de Voorafgewijde Gaven

Grieks - naast - Nederlands
- parochie-gebruik -

Uitgave Orthodox Klooster in de Peel
Geboorte van de Moeder Gods
Asten - Voorvasten 2015

**ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΠΑΤΡΙΑΡΧΕΙΟΝ**
**ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΒΕΛΓΙΟΥ**
ΚΑΙ ΕΞΑΡΧΙΑ ΚΑΤΩ ΧΩΡΩΝ ΚΑΙ ΛΟΥΞΕΜΒΟΥΡΓΟΥ

PATRIARCAT OECUMENIQUE
ARCHEVECHE DE BELGIQUE
ET EXARCHAT DES PAYS-BAS ET DU LUXEMBOURG

OECUMENISCH PATRIARCHAAT
AARTSBISDOM VAN BELGIË
EN EXARCHAAT VAN NEDERLAND EN LUXEMBURG

Διὰ τοῦ παρόντος θὰ ἤθελα νὰ ἀπευθύνω ἐγκάρδια συγχαρητήρια εἰς τὴν Ἱερὰν Μονὴν Γενεθλίου τῆς Θεοτόκου Ἄστεν Ὁλλανδίας, εἰς τὴν Γερόντισσαν αὐτῆς Μαρίαν μοναχὴν καὶ τὴ συνοδείαν αὐτῆς, διὰ τὴν μετάφρασιν τῆς Θείας Λειτουργίας τοῦ Ἱεροῦ Χρυσοστόμου εἰς τὴν Ὁλλανδικὴν γλῶσσαν.

Ἡ Θεία Λειτουργία εἶναι ἡ μεγαλύτερη πηγὴ εὐλογίας διὰ τὸν πιστόν, ἀποτελεῖ δὲ τὸ κέντρον τῆς ὀρθοδόξου πίστεώς μας. Εἶναι τὸ μεγαλύτερον μυστήριον τῆς παρουσίας τοῦ Χριστοῦ ἀνάμεσά μας. Διὰ τοῦτο καὶ παραμένει πάντα ἡ μοναδικὴ ἐλπὶς ἀληθινῆς ζωῆς διὰ τὸν ἄνθρωπον.

Ἡ παροῦσα μετάφρασις θὰ βοηθήσῃ ὅλους τοὺς πιστοὺς νὰ γνωρίσουν καλύτερα τὸν πλοῦτον τῆς Ὀρθοδόξου Λατρείας μας, διὰ τοῦτο καὶ τὴν συνιστῶμεν ἐνθέρμως εἰς Κλῆρον καὶ λαόν.

Εὐχαριστῶν ἐκ μυχίων διὰ τὸν πολύτιμον κόπον των, εὔχομαι ὁ Δωρεοδότης Κύριός μας μὲ τὶς μεσιτεῖες τῆς Κυρίας Θεοτόκου, τῆς καὶ Προστάτιδος τῆς Ἱερᾶς Μονῆς, νὰ χαρίζῃ εἰς τὴν Γερόντισσαν Μαρίαν καὶ τὴν συνοδείαν αὐτῆς, ὑγείαν ἀδιάπτωτον, διὰ νὰ προβάλλουν δι᾽ ἔτη πολλὰ τὴν Ὀρθόδοξον πίστιν καὶ λατρείαν μας εἰς τὴν Ὁλλανδίαν.

Ἐν Βρυξέλλαις, ἐν τῇ Ἱερᾷ Μητροπόλει τῇ 20ῇ Μαρτίου 2012

Ὁ Μητροπολίτης Βελγίου
καὶ Ἔξαρχος Κάτω Χωρῶν
καὶ Λουξεμβούργου

† ΠΑΝΤΕΛΕΗΜΩΝ

BUREAU-KANTOOR :
Avenue Charbo 71 - Charbolaan 71 B - 1030 BRUXELLES - BRUSSEL
TEL:00-32-2-736.52.78 FAX:00-32-2-735.32.64
Email: Eglise.orthodoxe@skynet.be Website : www.orthodoxia.be

## ❖ Woord vooraf ❖

Deze vertaling is gemaakt uit de Griekse grondtekst. De uitgave is gebaseerd op de tekst van de Griekse uitgaven van *Apostoliki Diakonia*, Kerk van Griekenland-1981 en die van het klooster *Simono Petra*, uitgave 2001. Geringe afwijkingen gaan terug op de Liturgiestudie van N. Trebelas, gemaakt in 1935 voor de wetenschappelijke commissie van het Patriarchaat van Constantinopel: ΑΙ ΤΡΕΙΣ ΛΕΙΤΟΥΡΓΙΑΙ. Vanaf 1978 tot nu toe hebben zeer velen, door op- en aanmerkingen, meegeholpen aan het tot stand komen van deze uitgave. Dankbaar denk ik terug aan de hulp van Joh. M. Fountoulis(†), docent Liturgiek in Thessalonika. Met de Russische-orthodoxe parochie van de H. Nicolaas van Myra in Amsterdam is vanaf 2008 samengewerkt om tot een gezamenlijke vertaling te komen van de priesterteksten. Deze uitgave heeft de overeengekomen tekst, voor zover die overeenkomt met de Chrysostomus-liturgie.

Aan alle lezers en gebruikers van deze tekst vragen wij vergeving voor de onvolkomenheden. U allen vragen wij ons klooster te gedenken in uw gebeden en vooral bij de viering van het grote en heilige Mysterie van de Goddelijke Liturgie.

Abdis Maria en medezusters

**Orthodox Klooster in de Peel - Asten - Voorvasten 2015**

*voor meer informatie:*

+ Orthodox Klooster in de Peel +
Geboorte van de Moeder Gods
Gruttoweg 7, 5725 RT Asten
tel/fax (0031) 0493 - 560421
www.orthodoxasten.nl ;
e-mail: orthodoxasten@hetnet.nl

## ❖ Enkele opmerkingen ❖

Nummers [1] in de tekst verwijzen naar **noten** achterin het boekje, vaak betrekking hebbend op verschillen in gebruik tussen Grieks en Slavisch. Meestal gaan deze verschillen terug op verschillende handschriften. Daarin staan bij iedere handeling één of meer toepasselijke verzen uit de psalmen of de profeten. Waarschijnlijk bad men zoveel regels als nodig was om de tijd van een handeling te overbruggen. In de Slavische traditie worden vaak meer verzen of zelfs de hele psalm gelezen. Wetenschappers zien graag dat de *cursieve tekst* wordt weggelaten, omdat het om latere toevoegingen gaat.

| | | |
|---|---|---|
| Altaar | = | de Altaartafel; |
| altaar | = | de altaarruimte; |
| P | = | tekst van de priester; |
| D | = | tekst van de diaken, die de priester bidt wanneer hij zonder diaken dient. |
| p | = | tekst van de priester, die overgeslagen wordt als er geen diaken meedient. |
| d | = | tekst van de diaken, die overgeslagen wordt als er geen diaken meedient; |
| P + | = | de priester geeft de zegen. |

*In de rubrieken is weggelaten:*

a. Dat de diaken bij het aankleden zijn gewaden kust; dat de priester zijn gewaden zegent en kust.
b. Dat de diaken iedere keer wanneer hij iets aan de priester geeft of iets van hem krijgt diens rechterhand kust.
c. Dat de diaken iedere keer wanneer hij een gebed zegt zijn oraar opheft, het vasthoudend met drie vingers van zijn rechterhand.

*Op de voorafgaande zondag (of zaterdag) wordt bij de Proskomidie, na het eerste Lam, voor elke weekliturgie een extra Lam toebereid, geheel op dezelfde wijze als het eerste. De priester bekruist ieder Lam, hij snijdt het los, slacht het en doorboort het, en wel uit een andere prosfora. (Nooit worden er meer dan één Lam uit één prosfora gesneden.) Over ieder Lam bidt hij:* Ter gedachtenis van onze Heer ... *;* Als een schaap ... *;* Geslacht wordt... *en* Een van de soldaten. *Hij plaatst de Lammeren op de diskos.*
*Bij de Epiklese zegt de priester, zoals altijd:* EN MAAK DIT BROOD ... *(enkelvoud). Bij de Opheffing:* Het Heilige voor de Heiligen *heft hij de Lammeren gezamenlijk op, maar bij de Broodbreking breekt hij alleen het eerste Heilige Lam en hij plaatst het IC-Deel in de Kelk en voegt het Zeon toe. Hierna neemt hij de heilige lepel in zijn rechterhand, doopt deze in het Heilig Bloed en met zijn linkerhand neemt hij één voor één ieder Heilig Lam en met de in het Heilig Bloed gedoopte lepel raakt hij het Lam kruisgewijs aan, daar waar deze bij de proskomidie aan de onderkant kruisgewijs is ingesneden. Gewoonlijk zegt de priester hierbij:* Door het goddelijk Bloed, Meester Christus, dat vloeide uit Uw zuivere en levendmakende zijde, zijn de afgodenoffers beëindigd, doch over de gehele aarde brengen wij U het Offer van lof. *(2e tropaar van de 9e Ode uit de Opstandingscanon t.5) en hij legt het onderste boven (met het zegel onder) in het Artoforion. Dit zelfde doet hij met de overige Heilige Lammeren, die hij ondersteboven in het artoforion legt. (De bodem van het artoforion is tevoren bedekt met een schoon wit papier. Dit kan later verbrand worden.*

*N.B. De priester kan nooit de dienst der Voorafgewijde gaven verrichten met slechts een deel van een voorafgewijd Lam. Dit moet geheel zijn met voldoende kruimelig brood om het Heilig Bloed op te nemen. Evenmin is het toegestaan om Heilig Brood over te brengen van de ene Kerk naar de andere om de dienst der Voorafgewijde Gaven te vieren.*

# ❖ ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΩΡΩΝ ❖

*Ὁ Ἱερεύς·* Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νύν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
*Ὁ Ἀναγνώστης·* Ἀμήν.

*Ὁ Ἱερεύς·* Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.
Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα της ἀ ληθείας ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρός τῶν γαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

*Ὁ Ἀναγνώστης· Ἅγιος ὁ Θεός.. (...) Πάτερ ἡμῶν ..*

*Ὁ Ἱερεύς·* Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἀναγνώστης· Τὴν Τιμιωτέραν τῶν Χερουβείμ...*
*Ἐν ὀνόματι Κυρίου, εὐλόγησον Πάτερ.*
*Ὁ Ἱερεύς·* Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ’ ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.*Ὁ Ἀναγνώστης·* Ἀμήν.

*Εὐχὴ τοῦ Ὁσίου Ἐφραίμ τοῦ Σύρου:*

## ❖ Dienst van het 9e uur - voorbereiding ❖

*Tijdens het Negende Uur bidt de priester met de diaken de gewone voorbereidingsgebeden, behalve het gebed van de hoofdbuiging: Heer, strek Uw hand uit... Hij gaat het altaar binnen en bekleedt zich met paarse gewaden, zonder de gewone gebeden. De priester zegent en kust elk stuk, zeggend:* Laat ons de Heer bidden. Heer, ontferm U. *De priester gaat voor de gesloten koninklijke Poort staan, naar het oosten gericht, en zegt:*

P Gezegend is onze God, immer, nu en altijd, en in de euwen der eeuwen

L Amen.

P Eer aan U, onze God, eer aan U.
Hemelse Koning, Trooster, Geest der waarheid,
Die alom tegenwoordig zijt en alles vervult,
Schatkamer van het goede, en Schenker van het leven,
kom en verblijf in ons, reinig ons van alle smet,
en red onze zielen, o Goede.

L *Heilige God ... t/m Onze Vader ...*

P Want van U is het koninkrijk, de kracht en de heerlijkheid: van de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

L *na het U eerbiedwaardiger...*
*Vader, zegen in de Naam des Heren.*

P Moge God ons barmhartig zijn en ons zegenen, moge Hij Zijn aangezicht over ons doen lichten, en Zich over ons ontfermen.

L Amen.

Gebed van de Heilige Efraïm de Syriër:

## Εὐχὴ τοῦ Ὁσίου Ἐφραίμ τοῦ Σύρου

*Ὁ Ἱερεύς·* Κύριε καὶ δέσποτα τῆς ζωῆς μου,
πνεῦμα ργίας, περιεργίας, φιλαρχίας
καὶ ἀργολογίας μή μοι δῷς. *(Μετάνοια)*

Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης,
ὑπομονῆς καὶ γάπης,
χάρισαί μοι τῷ Σῷ δούλῳ. *(Μετάνοια)*

Ναί, Κύριε, βασιλεῦ, δώρησαί μοι τοῦ ὁρᾶν τὰ ἐμὰ
πταίσματα καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου,
ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν. *(Μετάνοια)*

*Ὁ Ἱερεύς·* Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἀναγνώστης· Τὴν Τιμιωτέραν... Ἐν ὀνόματι Κυρίου, εὐλόγησον Πάτερ.*

*Ὁ Ἱερεύς·* Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.*Ὁ Ἀναγνώστης·* Ἀμήν.

*Εὐχὴ τοῦ Ὁσίου Ἐφραίμ τοῦ Σύρου.*

## Gebed van de Heilige Efraïm de Syriër

P Heer, en Meester van mijn leven,
geef mij niet de geest van ledigheid,
bemoeizucht, heerszucht of ijdel gepraat. *knielbuiging*

Maar geef mij, Uw dienaar,
de geest van zelfbeheersing,
nederigheid, geduld en liefde. *knielbuiging*

Ja, Heer mijn Koning,
laat mij mijn eigen fouten zien,
en mijn broeder niet veroordelen;
want Gij zijt gezegend in de eeuwen der eeuwen. Amen. *knielbuiging*

*12 kleine buigingen met* God, wees mij zondaar genadig en ontferm U over mij. *Dan één knielbuiging met de herhaling:* Ja, Heer, mijn Koning...

*De lezer leest het* ***slotgebed van het negende uur****; daarna volgt aansluitend de dienst van de* ***Typika****: het koor zingt onmiddellijk de* ***Zaligsprekingen****. Na het* Onze Vader ...

P Want van U is het koninkrijk, de kracht en de heerlijkheid: van de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

L *na het* U eerbiedwaardiger... Vader, zegen in de Naam des Heren.

P Moge God ons barmhartig zijn en ons zegenen, moge Hij Zijn aangezicht over ons doen lichten, en Zich over ons ontfermen.

L Amen.

*en het* Gebed van de Heilige Efraïm de Syriër*, zie hierboven.*

*Ὁ Ἀναγνώστης·* Κύριε ἐλέησον. *(ιβ΄)*

## Εὐχὴ

*Ὁ Ἱερεύς·* Παναγία Τριάς, τὸ ὁμοούσιον κράτος, ἡ ἀδιαίρετος βασιλεία, ἡ πάντων τῶν ἀγαθῶν αἰτία, εὐδόκησον δὴ καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ· στήριξον, συνέτισον τὴν καρδίαν μου, καὶ πᾶσαν περίελέ μου τὴν βεβηλότητα· φώτισόν μου τὴν διάνοιαν, ἵνα διαπαντὸς δοξάζω, ὑμνῶ, προσκυνῶ καὶ λέγω· Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρὸς.

*Ὁ Ἀναγνώστης·* Ἀμήν.

## Μικρὰ Ἀπόλυσις

*Ὁ Ἱερεύς·* Δόξα Σοὶ ὁ Θεός, δόξα Σοί.

*Ὁ Ἀναγνώστης·* Δόξα Πατρὶ ... Κύριε ἐλέησον. Κύριε ἐλέησον. Κύριε ἐλέησον. Πάτερ ἅγιε, εὐλόγησον.

*Ὁ Ἱερεύς·* Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, *(τοῦ ἁγίου τῆς ἡμέρας - σελ. 98)* οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ πάντων τῶν Ἁγίων· ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς γαθὸς καὶ φιλάνθρωπος.

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

*Ὁ Ἀναγνώστης·* Ἀμήν.

*Καὶ ἄρχεται ὁ ἑσπερινὸς μετὰ τῆς Θείας Λειτουργίας.*

L Heer, ontferm U. *(12x)*

*Voor de Koninklijke Deuren zegt de priester het gebed van de Typika*

P Alheilige Drie-eenheid, wezensene Kracht, ondeelbaar koningschap, oorzaak van alle goed, wees mij, zondaar welgezind; bevestig en onderricht mijn hart en neem al mijn onreinheid weg. Verlicht mijn verstand, opdat ik U zonder ophouden moge verheerlijken, bezingen en aanbidden met de woorden: Een is heilig, één is Heer, Jezus Christus, tot heerlijkheid van God de Vader. Amen.

## Kleine wegzending

P Eer aan U, Christus God, onze hoop, eer aan U.

L Eer .. Nu en ... Heer, ontferm U, *(3x)* Vader, Zegen.

P Dat Christus onze ware God, Zich over ons ontferme en ons redde; door de voorspraak van Zijn ongerepte Moeder; van de heilige, roemrijke en alomgeprezen apostelen; van onze gewijde en Goddragende vaders; van de heilige *(van de dag - zie p.99)* van wie wij de gedachtenis vieren; en van alle heiligen, want Hij is goed en menslievend.

Door de gebeden ...

*De priester en de diaken maken drie grote buigingen voor het Altaar en kussen het. De priester kust ook het Kruis en het Evangelie. De diaken gaat naar zijn plaats vóór de Deuren:*

*Ὁ διάκονος·* Εὐλόγησον, δέσποτα.

*Ὁ ἱερεὺς ὑψῶν ἅμα τὸ Εὐαγγέλιον καὶ ποιῶν τύπον σταυροῦ ἐπὶ τοῦ ἀντιμηνσίου, ἐκφωνεῖ·*

*Ὁ Ἱερεύς·* Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*Κλειομένων δὲ ἡ Ἡμιβημόθυρα.*

*Δεῦτε προσκυνήσωμεν ..*
*Προοιμιακὸς (Ψαλμὸς ΡΓ΄)* *Εὐλόγει ἡ ψυχή μου…*

## Εὐχὰς τοῦ Λυχνικοῦ

*Ὁ Ἱερεύς·* Ὁ τοῖς ἀσιγήτοις ὕμνοις καὶ ἀπαύστοις δοξολογίαις ὑπὸ τῶν ἁγίων δυνάμεων ἀνυμνούμενος, πλήρωσον τὸ στόμα ἡμῶν τῆς αἰνέσεώς σου, τοῦ δοῦναι μεγαλωσύνην τῷ ὀνόματί σου τῷ ἁγίῳ· καὶ δὸς ἡμῖν μερίδα καὶ κλῆρον μετὰ πάντων τῶν φοβουμένων σε ἐν ἀληθείᾳ, καὶ φυλασσόντων τὰς ἐντολάς σου· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου.

*Ὁ Ἱερεύς·* Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σῴζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

d Zegen, heer.

*P maakt kruisteken met Evangelie over het antimension:*

P Gezegend is het Koninkrijk van de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

*D gaat door de zuiddeur naar binnen. Hij sluit de deuren van de Koninklijke Poort en zo beginnen de Vespers.*

*De priester bidt met onbedekt hoofd de gebeden van de Vespers. (Als de priester zonder diaken dient, kan de priester ook al de gebeden van Vespers tijdens psalm 103 bidden).*
*De lezer leest psalm 103.*

## Gebeden van de Vespers

### Vierde Gebed

P Gij Die bezongen wordt door heilige machten met nooit zwijgende hymnen en onophoudelijke lofliederen, vervul onze mond met Uw lof om Uw heilige Naam te verheerlijken. Geef ons een aandeel en een erfdeel samen met allen die U in waarheid vrezen en Uw geboden onderhouden. Door de gebeden van de heilige Moeder Gods en al Uw heiligen.

Want aan U komt toe alle heerlijkheid, eer, en aanbidding: aan de Vader, de Zoon, en de Heilige Geest; nu en altijd, en in de eeuwen der eeuwen. Amen.

*Ὁ Ἱερεὺς ἐπεύχεται·*

## Εὐχὴ Πέμπτη

Κύριε, Κύριε, ὁ τῇ ἀχράντῳ σου παλάμῃ συνέχων τὰ σύμπατα, ὁ μακροθυμῶν ἐπὶ πάντας ἡμᾶς, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν, μνήσθητι τῶν οἰκτιρμῶν σου καὶ τοῦ ἐλέους σου· ἐπίσκεψαι ἡμᾶς ἐν τῇ σῇ ἀγαθότητι· καὶ δὸς ἡμῖν διαφυγεῖν καὶ τὸ λοιπὸν τῆς παρούσης ἡμέρας ἐκ τῶν τοῦ πονηροῦ ποικίλων μηχανημάτων, καὶ ἀνεπιβούλευτον τὴν ζωὴν ἡμῶν διαφύλαξον, τῇ χάριτι τοῦ παναγίου σου Πνεύματος. Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εὐχὴ Ἕκτη

Ὁ Θεὸς, ὁ μέγας καὶ θαυμαστός, ὁ ἀνεκδιηγήτῳ γαθωσύνῃ καὶ πλουσίᾳ προνοίᾳ διοικῶν τὰ σύμπαντα· ὁ καὶ τα ἐγκόσμια ἀγαθὰ ἡμῖν δωρησάμενος, καὶ κατεγγυήσας ἡμῖν τὴν ἐπηγγελμένην βασιλείαν δια τῶν ἤδη κεχαρισμένων ἡμῖν αγαθῶν· ὁ ποιήσας ἡμᾶς καὶ τῆς νῦν ἡμέρας τὸ παρελθὸν μέρος ἀπο παντὸς ἐκκλῖναι κακοῦ, δώρησαι ἡμῖν καὶ τὸ ὑπόλοιπον ἀμέμπτως ἐκτελέσαι, ἐνώπιον τῆς ἁγίας δόξης σου, ὑμνοῦντάς σε, τὸν μόνον γαθὸν, καὶ φιλάνθρωπον Θεὸν ἡμῶν. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### Vijfde Gebed

Heer, Heer, Die het heelal in Uw onbevlekte hand tezamen houdt, Gij zijt lankmoedig voor ons allen, al betreurt Gij onze slechtheid. Gedenk Uw erbarmingen en Uw ontferming. Bezoek ons in Uw goedheid. Doe ons ook de rest van deze dag ontkomen aan de veelsoortige listen van de boze. Bescherm door de genade van Uw heilige Geest ons leven tegen iedere aanval.

Door de ontferming en mensenliefde van Uw eniggeboren Zoon, met Wie Gij gezegend zijt, tezamen met Uw alheilige, goede en levendmakende Geest; nu en altijd, en in de eeuwen der eeuwen. Amen.

### Zesde Gebed

God, Gij zijt groot en wonderbaar, en met onzegbare goedheid en rijke voorzienigheid bestuurt Gij het heelal. Gij hebt ons de aardse goederen gegeven en ons ook verzekerd van het beloofde koninkrijk, door de gaven die Gij ons reeds geschonken had. Gij die ervoor gezorgd hebt dat wij ons in het afgelopen deel van de dag afgewend hebben van het kwaad, geef dat wij ook de rest van de dag onberispelijk mogen volbrengen voor het aanschijn van Uw heilige heerlijkheid, terwijl wij U bezingen, de alleen goede en menslievende God.

Want Gij zijt onze God, en tot zenden wij de lof: tot de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen. Amen.

## Εὐχὴ Ἑβδόμη

Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας· ὁ διαχωρήσας ἀνὰ μέσον τοῦ φωτός καὶ ἀνὰ μέσον τοῦ σκότους, καὶ τὸν μὲν ἥλιον θέμενος εἰς ἐξουσίαν τῆς ἡμέρας, σελήνην δὲ καὶ ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός· ὁ καταξιώσας ἡμᾶς τοὺς ἁμαρτωλοὺς, καὶ ἐπὶ τῆς παρούσης ὥρας προφθάσαι τὸ πρόσωπόν σου ἐν ἐξομολογήσει, καὶ τὴν ἑσπερινήν σοι δοξολογίαν προσαγαγεῖν· αὐτός, φιλάνθρωπε Κύριε, κατεύθυνον τήν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου, καὶ πρόσδεξαι αὐτὴν εἰς ὀσμὴν εὐωδίας. Παράσχου δὲ ἡμῖν τὴν παροῦσαν ἑσπέραν καὶ τὴν ἐπιοῦσαν νύκτα εἰρηνικήν· ἔνδυσον ἡμᾶς ὅπλα φωτός· ῥῦσαι ἡμᾶς ἀπὸ φόβου νυκτερινοῦ, καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου· καὶ δὸς ἡμῖν τὸν ὕπνον, ὃν εἰς ἀνάπαυσιν τῇ ἀσθενείᾳ ἡμῶν ἐδωρήσω, πάσης διαβολικῆς φαντασίας ἀπηλλαγμένον. Ναί, Δέσποτα τῶν ἁπάντων, τῶν ἀγαθῶν χορηγέ, ἵνα καὶ ἐπὶ ταῖς κοίταις ἡμῶν κατανυγόμενοι, μνημονεύωμεν ἐν νυκτὶ τοῦ ὀνόματός σου, καὶ τῇ μελέτῃ τῶν σῶν ἐντολῶν καταυγαζόμενοι, ἐν γαλλιάσει ψυχῆς διανιστῶμεν πρὸς δοξολογίαν τῆς σῆς γαθότητος, δεήσεις καὶ ἱκεσίας τῇ σῇ εὐσπλαγχνίᾳ προσάγοντες, ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων καὶ παντὸς τοῦ λαοῦ σου· ὃν, ταῖς πρεσβείαις τῆς ἁγίας Θεοτόκου ἐν ἐλέει ἐπίσκεψαι. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Zevende Gebed

Grote en allerhoogste God, Die alleen onsterfelijk zijt en woont in het ontoegankelijke Licht, Gij hebt heel de schepping met wijsheid gemaakt. Het licht hebt Gij gescheiden van de duisternis: de zon aangesteld om te heersen over de dag, de maan en de sterren om te heersen over de nacht. Gij hebt ons, zondaars, waardig geacht om ook op dit uur met belijdenis voor Uw aanschijn te treden, om U de avondlofprijzing op te dragen. Menslievende Heer, laat ons gebed opstijgen als wierook voor Uw aangezicht, en neem het aan als een welriekende geur. Laat deze avond en de komende nacht vredig zijn. Bekleed ons met de wapenrusting van het Licht. Bevrijd ons van nachtelijke vrees en voor dat wat in de duisternis rondwaart. Geef dat de slaap, die Gij ons schenkt tot verkwikking van onze zwakheid, vrij blijve van duivelse drogbeelden. Ja, Meester van het heelal en Schenker van het goede, laten wij ’s nachts Uw Naam gedenken, opdat wij ook op onze rustplaats rouwmoedig zijn. Geef dat wij verlicht door het overwegen van Uw geboden, weer met vreugde in onze ziel mogen opstaan, om Uw goedheid te loven, en om gebeden en smekingen op te dragen aan Uw barmhartigheid; voor onze eigen zonden, en voor die van geheel Uw volk: bezoek dit volk met Uw genade, op voorspraak van de heilige Moeder Gods.

Want Gij zijt een goede en menslievende God, en tot U zenden wij de lof: tot de Vader, de Zoon en de Heilige Geest; nu en altijd, en in de eeuwen der eeuwen. Amen.

*Ὁ Διάκονος·* Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

*[Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν,*
*τοῦ Κυρίου δεηθῶμεν.]*

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν *(Ἀθηναγόρου)*, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς Μητρὸς ἡμῶν *(Μαρίας)* μοναχῆς καὶ τῆς συνοδείας αὐτῆς τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ βασιλέως τῆς χώρας ταύτης *(...)*, τῆς βασιλικῆς οἰκογενείας, τῶν ἀρχῶν καὶ τοῦ λαοῦ αὐτῆς, τοῦ Κυρίου δεηθῶμεν.

*Na ps 103 bidt de diaken de vredeslitanie voor de Heilige Deuren. Indien er geen diaken is, bidt de priester de litanie voor het Altaar.*

### VREDESLITANIE

D Laat ons in vrede bidden tot de Heer.

K Heer, ontferm U. *(Na iedere bede)*

D Om de vrede van boven en de redding van onze zielen bidden wij de Heer.

Om vrede voor de gehele wereld, standvastigheid van de heilige kerken Gods en eenheid van allen, bidden wij de Heer.

Voor dit heilig Godshuis en voor hen die er met geloof, eerbied en vreze Gods binnentreden, bidden wij de Heer.

*[Voor de vrome en orthodoxe christenen, bidden wij de Heer.]**

Voor onze aartsbisschop *(Athenagoras)*, de eerbiedwaardige priesters, de diakens in Christus, alle geestelijken en het volk, bidden wij de Heer.

Voor koning *(...)*, het koninklijk huis,
de regering van ons land en hen die het beschermen,
bidden wij de Heer.

** deze bede vervangt de bede voor de vrome keizer, en wordt vaak weggelaten, want is hier niet op zijn plaats.*

Ὑπὲρ τῆς πόλεως *(ἢ τῆς ἁγίας Μονῆς, ἢ τῆς χώρας, ἢ τῆς νήσου)* ταύτης, πάσης πόλεως χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Ὁ λαός·* Σοὶ Κύριε.

*Ὁ Ἱερεύς·* Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺςαἰῶνας τῶν αἰώνων.

*Ὁ Ἀναγνώστης·* Ἀμήν.

*Στάσις Πρώτη τοῦ Καθίσματος*

*Ψαλμός ΡΙΘ´*

Voor deze stad *(of: dit heilig klooster, of: streek of: eiland ),* voor elke stad en streek en voor de gelovigen die er wonen, bidden wij de Heer.

Om gunstig weer en overvloed van de vruchten van de aarde, bidden wij de Heer.

Voor de reizenden, de zieken, de lijdenden, de gevangenen en hun redding, bidden wij de Heer.

Om bevrijding uit alle verdrukking, toorn, gevaar en nood, bidden wij de Heer.

Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.

Onze alheilige, ongerepte, hooggezegende, glorierijke Vrouwe, de Moeder Gods en altijd Maagd Maria met alle heiligen indachtig, laten wij onszelf, elkaar en geheel ons leven toevertrouwen aan Christus onze God.

K Aan U, o Heer.

P Want U komt toe alle heerlijkheid, eer en aanbidding, Vader, Zoon en Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

*De Altaardeuren gaan helemaal dicht; de lezer leest het 18e kathisma in drie stasen, afgesloten met de kleine litanie.*

## Τῶν Προηγιασμένων

*Κλειομένων δὲ ἡ Ὡραία Πύλη (καὶ ὁ καταπέτασμα), καὶ ὁ Ἱερεύς νίπτει τὰς χεῖρας.*

*Ὁ Διάκονος·* Εὐλόγησον, Δέσποτα, τό θυμίαμα. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ἐλέησον.

*Ὁ Ἱερεύς·* Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου Θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.

*Ὁ Ἱερεύς θέτει τὸν ἅγιον Ἄρτον ἐπὶ τοῦ δισκαρίου, εἶτα ἐπιθέτει τὸν Ἀστερίσκον λέγων, «Δι᾽ εὐχῶν ...», καὶ καλύπτει αὐτὸ διὰ τοῦ καλύματος, λέγων τὸ αὐτό· «Δι᾽ εὐχῶν ...». Θυμιᾷ τρίς, ποιήσας τρεῖς μεγάλας μετανοίας, ἔρχεται εἰς τὴν ἱερὰν Πρόθεσιν, καὶ ἀποθέτει αὐτὰ ἐκεῖ. Εἶτα βάλλει ἐν τῷ ἁγίῳ Ποτηρίῳ οἶνον καὶ ὕδωρ λέγων, «Δι᾽ εὐχῶν ...» Ὁ Ἱερεύς πάλιν θυμιᾷ τρίς, λέγων, «Δι᾽ εὐχῶν ...»· καὶ ἀπέρχεται ἐν τῇ ἁγία Τραπέζῃ, καὶ θυμιᾷ αὐτὴν καὶ ὅλον τὸ Ἱερατεῖον.*

## Μικρὰ Συναπτή

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·* Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ Ἀναγνώστης·* Κύριε, ἐλέησον.

*Ὁ Διάκονος·* Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*Ὁ Ἀναγνώστης·* Κύριε, ἐλέησον.

*Ὁ Διάκονος·* Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Ὁ Ἀναγνώστης·* Σοὶ, Κύριε.

## Voorbereiding van de Gaven

*Het gordijn is dicht, de priester vouwt het antimension open, brengt diskos, ster, en velum van de Proskomidie naar het Altaar, en zet ze op het antimension. Dan neemt hij het voorafgewijde Lam uit het artoforion en legt het met de grootste eerbied op de diskos.*
*De priester bewierookt ster en velum, en dekt de diskos af, biddend:* Door de gebeden ... *De priester wierookt drie keer rond Altaar: er tegenover gaat diaken met kaars.*
*De priester maakt drie grote poklonen en draagt de diskos op het hoofd, achter om het Altaar heen, naar de Proskomidie. De diaken gaat achterwaarts voor hem uit, met kaars en wierook.*
*De priester doet wijn en water in de kelk, en dekt deze af met het kleine velum; en hij dekt diskos en kelk af met de aër. In plaats van de gewone gebeden zegt hij steeds:* Door de gebeden... *Hij zet een brandende kaars bij de Heilige Gaven. Hij vouwt het antimension dicht; hij legt het Evangelie erop. De diaken bewierookt Altaar en altaarruimte.*

*Na de eerste psalmlezing bidt de diaken de kleine litanie:*

## Kleine Litanie

D Nogmaals en nogmaals, laat ons in vrede bidden tot de Heer.
K Heer, ontferm U.

D Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.
K Heer, ontferm U.

D Onze alheilige, ongerepte, hooggezegende, glorierijke Vrouwe, de Moeder Gods en altijd Maagd Maria, met alle heiligen indachtig, laten wij onszelf, elkaar en geheel ons leven toevertrouwen aan Christus onze God.
K Aan U, o Heer.

## Εὐχὴ τοῦ Α΄ Ἀντιφώνου

*Ὁ Ἱερεύς·* Κύριε, οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε, ἐνώτισαι τὴν προσευχὴν ἡμῶν, καὶ πρόσχες, τῇ φωνῇ τῆς δεήσεως ἡμῶν. Ποίησον μεθ᾽ ἡμῶν σημεῖον εἰς γαθόν· ὁδήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου, τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου· εὔφρανον τὰς καρδίας ἡμῶν εἰς τὸ φοβεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον· διότι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια· σὺ εἶ Θεὸς μόνος, καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε· δυνατὸς ἐν ἐλέει, καὶ ἀγαθὸς ἐν ἰσχύϊ, εἰς τὸ βοηθεῖν, καὶ παρακαλεῖν, καὶ σῴζειν πάντας τοὺς ἐλπίζοντας εἰς τὸ ὄνομά σου τὸ ἅγιον.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἀναγνώστης·* Ἀμήν.

## Μικρὰ Συναπτή

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·* Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ Ἀναγνώστης·* Κύριε, ἐλέησον.

*Ὁ Διάκονος·* Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*Ὁ Ἀναγνώστης·* Κύριε, ἐλέησον.

*Ὁ Διάκονος·* Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Ὁ Ἀναγνώστης·* Σοί, Κύριε.

### Het gebed van de eerste antifoon

P Heer, Die medelijdend en barmhartig zijt, lankmoedig en vol ontferming: verhoor ons gebed en luister naar de stem van onze smeking. Doe aan ons een teken ten goede; leid ons op Uw weg, opdat wij voortgaan in Uw waarheid; verblijd onze harten in ontzag voor Uw heilige Naam, want Gij zijt groot en doet bewonderenswaardige werken. Gij alleen zijt God, en onder de goden is er niemand aan U gelijk, Heer, Die machtig zijt in ontferming en goedertieren in Uw kracht om allen te helpen, te troosten en te verlossen, die hopen op Uw heilige Naam.

P *Uitroep:* Want van U is de macht, het koninkrijk, de kracht en de heerlijkheid: van de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

*De lezer leest de tweede stase*

### Kleine Litanie

D Nogmaals en nogmaals, laat ons in vrede bidden tot de Heer.

K Heer, ontferm U.

D Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.

K Heer, ontferm U.

D Onze alheilige, ongerepte, hooggezegende, glorierijke Vrouwe, de Moeder Gods en altijd Maagd Maria, met alle heiligen indachtig, laten wij onszelf, elkaar en geheel ons leven toevertrouwen aan Christus onze God.

K Aan U, o Heer.

## Εὐχὴ τοῦ Β´ Ἀντιφώνου

*Ὁ Ἱερεύς·* Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ᾽ ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, ἰατρὲ καὶ θεραπευτὰ τῶν ψυχῶν ἡμῶν. Ὁδήγησον ἡμᾶς ἐπὶ λιμένα θελήματός σου. Φώτισον τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ἡμῶν εἰς ἐπίγνωσιν τῆς σῆς ἀληθείας· καὶ δώρησαι ἡμῖν τὸ λοιπὸν τῆς παρούσης ἡμέρας εἰρηνικὸν καὶ ἀναμάρτητον, καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων.

*Ὁ Ἱερεύς·* Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἀναγνώστης·* Ἀμήν.

## Μικρὰ Συναπτή

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·* Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ Ἀναγνώστης·* Κύριε, ἐλέησον.

*Ὁ Διάκονος·* Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*Ὁ Ἀναγνώστης·* Κύριε, ἐλέησον.

*Ὁ Διάκονος·* Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Ὁ Ἀναγνώστης·* Σοί, Κύριε.

### Het gebed van de tweede antifoon

P Heer, tuchtig ons niet in Uw toorn en straf ons niet in Uw verbolgenheid, maar doe met ons volgens Uw barmhartigheid, geneesheer en verzorger van onze zielen. Voer ons in de haven van Uw wil. Verlicht de ogen van ons hart om inzicht in Uw waarheid te verkrijgen. Geef ons, dat wij de rest van deze dag, en de gehele tijd van ons leven in vrede zonder zonde moge doorbrengen. Door de gebeden van de heilige Moeder Gods en van al Uw heiligen.

P *Uitroep:* Want Gij zijt een goede en menslievende God, en tot U zenden wij de lof: tot de Vader, de Zoon en de Heilige Geest; nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

*De lezer leest de derde stase*

### Kleine Litanie

D Nogmaals en nogmaals, laat ons in vrede bidden tot de Heer.

K Heer, ontferm U.

D Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.

K Heer, ontferm U.

D Onze alheilige, ongerepte, hooggezegende, glorierijke Vrouwe, de Moeder Gods en altijd Maagd Maria, met alle heiligen indachtig, laten wij onszelf, elkaar en geheel ons leven toevertrouwen aan Christus onze God.

K Aan U, o Heer.

## Εὐχὴ τοῦ Γ´ Ἀντιφώνου

*Ὁ Ἱερεύς·* Κύριε, ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου, ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον ὄνομά σου, καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου, ἀλλὰ χάρισαι ἡμῖν, Κύριε, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾶν, καὶ φοβεῖσθαί σε ἐξ ὅλης τῆς καρδίας ἡμῶν, καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου.

*Ὁ Ἱερεύς·* Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἀναγνώστης·* Ἀμήν.

*Ὁ λαός·* ***Κεκραγάρια·*** *Κύριε, ἐκέκραξα... Ὁ Διάκονος, ἢ ὁ Ἱερεὺς, θυμιᾷ. Ψαλλομένου τοῦ Δοξαστικοῦ, ἀνοίγονται τὰ Βημόθυρα.*

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·* Τοῦ Κυρίου δεηθῶμεν.

## Εὐχὴ τῆς Εἰσόδου

*Ὁ Ἱερεύς ἐπεύχεται·* Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν, καὶ δεόμεθά σου, Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε, Κύριε. Κατεύθυνον τὴν προσευχὴν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ

## HET GEBED VAN DE DERDE ANTIFOON

P Heer onze God, gedenk ons, Uw zondige en nutteloze dienaren, nu wij Uw heilige Naam aanroepen. Beschaam ons niet die vertrouwen op Uw ontferming, maar schenk ons alles wat wij U vragen voor onze redding. Maak ons waardig om U te beminnen en te vrezen uit geheel ons hart en om in alles Uw wil te doen.

P *Uitroep:* Want Gij zijt onze God, de God van barmhartigheid en verlossing, en tot U zenden wij de lof: tot de Vader, de Zoon en de Heilige Geest; nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

*Gordijn open van de Koninklijke Poort. De diaken bewierookt de kerk, zoals gebruikelijk. Het koor zingt* Heer ik roep... *met tien stichieren van de dag uit het Triodion en Mineon. Bij* Eer aan .. *worden de Koninklijke Deuren geopend voor de: KLEINE INTOCHT. Dit is de gewone Kleine Intocht van de Vespers: met wierook en kaarsdrager. Wanneer er een Evangelielezing is - in de Goede Week en op een feestdag - is de Intocht met het Evangelieboek.*

D Laat ons bidden tot de Heer.

## GEBED VAN DE INTOCHT

P *zacht* ‘s Avonds, ‘s morgens en ‘s middags loven, zegenen, danken en bidden wij U, Meester van het heelal, menslievende Heer. Laat ons gebed opstijgen als wierook voor Uw aangezicht, en neig ons hart niet tot slechte woorden en gedachten, maar bevrijd ons van allen die onze ziel belagen. Want op U, Heer, o Heer,

πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν· ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν, καὶ ἐπὶ σοὶ ἠλπίσαμεν, μὴ καταισχύνῃς ἡμᾶς, ὁ Θεὸς ἡμῶν. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Διάκονος·* Εὐλόγησον Δέσποτα, τὴν ἁγίαν εἴσοδον.

*Ὁ Ἱερεύς·* Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·* Σοφία, Ὀρθοί.

*Ὁ Ἀναγνώστης χῦμα· Φῶς ἱλαρὸν... Προκείμενον Α΄*

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς· Σοφία.*
*Ὁ Ἀναγνώστης· Γενέσεως (ἢ Ἐξόδου) ... τὸ Ἀνάγνωσμα.*

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς· Πρόσχωμεν.*
*Ὁ Ἀναγνώστης* ***τὴν Α΄ περικοπὴν.***

*Ὁ Ἀναγνώστης· Προκείμενον Β΄ ; Κέλευσον!*

## ***Φῶς Χριστοῦ***

*Ὁ Ἱερεύς·* + Σοφία. Ὀρθοί.

+ Φῶς Χριστοῦ φαίνει πᾶσι.



hebben wij onze ogen gericht, en op U hebben wij gehoopt: beschaam ons niet, onze God.
Want U komt toe alle heerlijkheid, eer, en aanbidding: Vader, Zoon, en Heilige Geest; nu en altijd, en in de eeuwen der eeuwen. Amen.

d Zegen, heer, de heilige intocht.

P Gezegend is de intocht van Uw heiligen, immer, nu en altijd, en in de eeuwen der eeuwen. Amen.

D Wijsheid, staat recht!

*Na het Vreugdevol Licht... volgt het eerste prokimen*

D Wijsheid.
L *Lezing uit ...*

D Laat ons aandachtig zijn.
*en de lezer leest* ***de eerste lezing***

*Lezer c/q koor: het tweede prokimen en hierna: Zegen!*

### LICHTZEGEN

*De priester neemt wierookvat en de kaars in samengevouwen handen; naar het Altaar gewend zegt hij:*
P + Wijsheid, staat recht.

*Hij keert zich om en zegent het knielende volk:*
P + Het Licht van Christus schijnt voor allen.



*Ὁ Ἀναγνώστης· Παροιμιῶν (ἢ Ἰὼβ)... τὸ Ἀνάγνωσμα.*

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·* Σοφία. Πρόσχωμεν.
*Ὁ Ἀναγνώστης τὴν **Β΄ περικοπὴν**.*

## Κατευθυνθήτω

*Θυμιῶν πρὸ τῆς ἁγίας Τραπέζης, ὁ Ἱερεύς·*

Κατευθυνθήτω • ἡ προσευχή μου, • ὡς θυμίαμα • ἐνώπιόνσου· • ἔπαρσις τῶν χειρῶν μου, • θυσία ἑσπερινή.

*Ὁ Ἀναγνώστης· Κατευθυνθήτω ...*

*Θυμιῶν εἰς τὸ νότιον μέρος τῆς Ἁγίας Τραπέζης, ὁ Ἱερεύς·*
Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου, Κύριε· Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ.

*Ὁ Ἀναγνώστης· Κατευθυνθήτω ...*
*Θυμιῶν εἰς τὸ ὄπισθεν μέρος τῆς Ἁγίας Τραπέζης, ὁ Ἱερεύς·*
Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.
*Ὁ Ἀναγνώστης· Κατευθυνθήτω ...*

*Θυμιῶν εἰς τὸ βόρειον μέρος τῆς Ἁγίας Τραπέζης, ὁ Ἱερεύς·*
Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.
*Ὁ Ἀναγνώστης· Κατευθυνθήτω ...*

*De lezer leest het **opschrift** van de tweede lezing*

D Wijsheid. Laat ons aandachtig zijn

*De lezer leest de tweede **lezing***

*Daarna volgt de **Wierookzang** met verzen (zoals een groot prokimen). De priester wierookt staande voor het Altaar. Daarna wierookt de diaken en de priester knielt.*

P *1e keer Refrein:* Laat mijn gebed op - stij - gen,

als wierook voor Uw aangezicht.

De op - hef - fing van mijn han - den,

zij een a - vond - of - fer.

K *Refrein Laat mijn gebed ...*

*Priester (of lezer) de drie verzen; aan de zuidkant van het Altaar:*

*1e vers:* Heer ik roep tot U: verhoor mij; verhoor mij, o Heer. Heer ik roep tot U, verhoor mij; sla acht op de stem van mijn smeking, wanneer ik tot U roep.

K *Refrein Laat mijn gebed ...*

*Priester aan de achterkant van het Altaar:*

*2e vers:* Stel, Heer, een wacht voor mijn mond,
maak een gesloten deur van mijn lippen.

K *Refrein Laat mijn gebed ...*

*Priester aan de noordkant van het Altaar:*

*3e vers:* Neig mijn hart niet tot slechte woorden,
om met uitvluchten mijn zonden te verontschuldigen

K *Refrein Laat mijn gebed ...*

*Θυμιῶν ἔμπροσθεν τῆς Ἁγίας Τραπέζης, ὁ Ἱερεύς·*
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
*Ὁ Ἀναγνώστης· Κατευθυνθήτω ...*

*Θυμιῶν ἔμπροσθεν τῆς Ἁγίας Τραπέζης, ὁ Ἱερεύς·*
Κατευθυνθήτω • ἡ προσευχή μου, ...

*Θυμιῶν τὴν εἰκόνα τοῦ Δεσπότου Χριστοῦ, ὁ Ἱερεύς·*
ὡς θυμιάμα ἐνώπιόν σου, ...

*Θυμιῶν τὸν λαόν, ὁ Ἀναγνώστης·*
ἔπαρσις τῶν χειρῶν μου, • θυσία ἑσπερινή.

---

*Ἐὰν μὲν εἶναι μνήμη ἑορταζομένου Ἁγίου·*

## Ὁ Ἀπόστολος

*Ὁ Ἀναγῶστης· (Προκείμενον).*
*Ὁ Διάκονος, ἢ ὁ Ἱερεῦς·* Πρόσχωμεν.

*Ὁ Ἀναγῶστης· (Προκείμενον).*
*Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·* Σοφία.

*Ὁ Ἀναγῶστης· Προς ... Ἐπιστολῆς ... τὸ ἀνάγνωσμα.*
*Ὁ Διάκονος, ἢ ὁ Ἱερεῦς·* Πρόσχωμεν.

*Καὶ ὁ ἀναγνώστης ἀναγινώσκει τὴν οἰκείαν περικοπὴν ἐκ τοῦ Ἀποστόλου.*
*Ἀναγινωσκομένου δὲ τοῦ Ἀποστόλου, (ἢ ψαλλομένου τοῦ ἀλληλουαρίου) ὁ Διάκονος θυμιᾷ κύκλῳ τὴν ἁγίαν Τράπεζαν, τὰς Δεσποτικὰς εἰκόνας καὶ τὸν λαόν, ἐκ τῶν ὡραίων Πυλῶν.*

*Gekomen voor het heilig Altaar*

Eer ... Nu en ...

*K Refrein Laat mijn gebed ..*

*De priester zingt de eerste helft van het refrein:*

Laat mijn gebed op - stij - gen,

als wierook voor Uw aangezicht.

*Al wierokend is hij in de Koninklijke Poort gekomen en bewierookt het volk. Het koor neemt de tweede helft van het refrein over:*

K *tweede helft refrein: De opheffing ..*

*Wij maken allen drie poklonen.**

---

*Indien het een feestdag is, wordt de **Apostel** en het **Evangelie** gelezen. In de Goede Week alleen het Evangelie*

L *leest het prokimen*

D Laat ons aandachtig zijn!

L *leest het prokimen-vers*

D Wijsheid

L *leest het opschrift*

D Laat ons aandachtig zijn!

L *leest de perikoop*

*Ondertussen (of tijdens het zingen van het alleluia) neemt de diaken het wierookvat en wierook, vraagt zegen aan de priester en bewierookt het Altaar rondom, heel het altaar, de priester en het volk vanuit de poort.*

---

* *volgens Grieks gebruik hier letterlijk 'drie poklonen' en **niet** het gebed van de h. Efraïm de Syriër.*

*Τοῦ Ἀποστόλου πληρωθέντος λέγει ὁ ἱερεύς·*

*Ὁ Ἱερεύς·* Εἰρήνη σοι τῷ ἀναγινώσκοντι.
*Ὁ λαός·* Ἀλληλούϊα *(τρίς)*.

---

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεῦς, θυμιᾶ τὸν Εὐαγγέλιον, καὶ ὁ Ἱερεῦς ἐπεύχεται·* Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν ὀφθαλμοὺς διάνοιξον εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας πάσας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ὁ δὲ Διάκονος μετὰ τὸ θυμίαμα, λαβὼν τὸ ἅγιον Εὐαγγέλιον καὶ προσελθὼν τῷ ἱερεῖ καὶ τὴν κεφαλὴν ὑποκλίνας, λέγει·*

*Ὁ διάκονος·* Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ (*Ματθαίου ἢ Μάρκου ἢ Λουκᾶ ἢ Ἰωάννου*).

*Ὁ δὲ ἱερεὺς σφραγίζων αὐτόν, λέγει·*

*Ὁ ἱερεύς·* Ὁ Θεός, διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ *(δεῖνος)* δῴη σοι ῥῆμα τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ, εἰς ἐκπλήρωσιν τοῦ Εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ Αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ.

*Als de apostel gelezen is*

P Vrede zij u, lezer.

L/K En met uw geest. Alleluja, alleluja, alleluja.

---

*De priester bidt voor het Altaar het* EVANGELIEGEBED:

P Laat stralen in onze harten, menslievende Heer, het zuivere licht van Uw goddelijke kennis en open de ogen van ons verstand om de verkondiging van Uw Evangelie te begrijpen. Plant in ons het ontzag voor Uw zalige geboden, zodat wij al onze vleselijke begeerten vertreden en een geestelijke levenswijze leiden en U behagen in al ons denken en doen. Want Gij zijt de verlichting van onze zielen en lichamen, Christus God, en tot U zenden wij de lof evenals tot Uw beginloze Vader en Uw alheilige, goede en levendmakende Geest, nu en altijd, en in de eeuwen der eeuwen. Amen.

*De diaken hangt het wierookvat weg, gaat naar de priester en zegt met gebogen hoofd:*

d Zegen, heer, de verkondiger van het Evangelie volgens de heilige apostel en evangelist *(Mattheüs of Markus of Lukas of Johannes)*

*De priester zegent hem, zeggend:*

p Moge God, door de gebeden van de heilige, roemrijke apostel en evangelist (....) het u geven, verkondiger van de Blijde Boodschap, om met grote kracht het woord te verkondigen, tot vervulling van het Evangelie van Zijn geliefde Zoon, onze Heer Jezus Christus.

*Ὁ διάκονος·* Ἀμήν.

## Ὁ Εὐαγγέλιον

*Εἶτα λαβὼν ἐκ τῶν χειρῶν τοῦ ἱερέως τὸ ἅγιον Εὐαγγέλιον καὶ προσκυνήσας μετ' εὐλαβείας, αἴρει αὐτὸ καί, προπορευομένων λαμπάδων, ἀπέρχεται εἰς τὸν Ἄμβωνα, ἐνῷ ὁ ἱερεύς ἀπὸ τῆς πύλης τοῦ ἱεροῦ Βήματος ἐκφωνεῖ:*

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεῦς·* Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.
*Ὁ Ἱερεύς·* Εἰρήνη πᾶσι.

*Ὁ λαός·* Καὶ τῷ πνεύματί σου.

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεῦς·* Ἐκ τοῦ κατὰ (*Ματθαῖον, Μᾶρκον, Λοῦκαν, ἢ Ἰωάννην*) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.
*Ὁ λαός·* Δόξα Σοι, Κύριε, δόξα Σοι.

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεῦς·* Πρόσχωμεν.

*Καὶ ἀναγινώσκει ὁ διάκονος τὴν τεταγμένην περικοπὴν τοῦ ἁγίου Εὐαγγελίου, μεθ' ὃ ἱερεὺς λέγει:*

*Ὁ ἱερεύς·* Εἰρήνη σοι τῷ εὐαγγελιζομένῳ

*ὁ δὲ λαὸς ψάλλει ἀργῶς:* Δόξα Σοι, Κύριε, δόξα Σοι.

*Ἀκολουθεῖ ἡ ἑρμηνεία τῆς ἀναγνωσθείσης Εὐαγγελικῆς ἢ Ἀποστολικῆς περικοπῆς.*

*Hij geeft hem het Evangelie.*

d Amen.

## EVANGELIELEZING

*De diaken neemt het Evangelie aan, vereert het en gaat door de heilige deuren naar de ambon, voorafgegaan door kaarslicht. (N.B. 'ambon' kan zijn wat wij een preekstoel noemen, of anders op de onderste trede van de bisschops-koorstoel). De priester staat voor het Altaar, naar het Westen gekeerd.*

P Wijsheid, staat recht!
Laat ons luisteren naar het heilig evangelie.

P Vrede zij u allen.

K En met uw geest.

D Lezing uit het heilig evangelie volgens *(Mattheüs /...)*

K Eer aan U, o Heer, eer aan U!

P Laat ons aandachtig zijn.

*De diaken leest de aangegeven perikoop.*
*Na de lezing geeft de diaken het Evangelie terug aan de priester.*

p + Vrede zij u, verkondiger van het Evangelie.

K Eer aan U, o Heer, eer aan U.

*Vanaf de ambon verklaart de priester de gelezen perikoop van het evangelie of de apostel.*

*Εἶτα ὁ διάκονος, στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει τὴν*

## Ἐκτενῆ

*Ὁ Διάκονος·* Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν, εἴπωμεν.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Κύριε, Παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

*Ὁ λαός·* Κύριε ἐλέησον *(τρίς).*

*[Ὁ Διάκονος· Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων χριστιανῶν.]*

*Ὁ Διάκονος·* Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν *(Ἀθηναγόρου).*

Ἔτι δεόμεθα ὑπὲρ τῆς Μητρός ἡμῶν *(Μαρίας)* μοναχῆς καὶ τῆς συνοδείας αὐτῆς.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ βασιλέως τῆς χώρας ταύτης *(...)*, τῆς βασιλικῆς οἰκογενείας, τῶν ἀρχῶν καὶ τοῦ λαοῦ αὐτῆς.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

*De diaken gaat op zijn gewone plaats staan*

## Dringende Litanie

D Zeggen wij allen met geheel onze ziel
en met geheel ons verstand, zeggen wij:

K Heer, ontferm U.

D Heer, Albeheerser, God van onze vaderen, wij bidden U: verhoor ons en ontferm U.

K Heer, ontferm U.

D Ontferm U over ons, o God, volgens Uw grote ontferming, wij bidden U, verhoor ons en ontferm U.

K Heer, ontferm U. *(3x na iedere bede)*

*[D Ook bidden wij voor de vrome en orthodoxe christenen.]*

D Ook bidden wij voor onze aartsbisschop *(Athenagoras)*.

Ook bidden wij voor onze koning *(...)*, het koninklijk huis, de regering van ons land en hen die het beschermen.

Ook bidden wij voor de priesters, de diakens, de monniken en monialen, en geheel onze broederschap in Christus.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει καὶ ἐνορίᾳ ταύτῃ, τῶν ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἱερᾶς Ἐκκλησίας ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας *(ἢ Μονῆς)* ταύτης καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίας ὀντῶν καί πάντων τῶν διακονουσῶν καί διακονησασῶν ἐν τῇ ἁγία Μονῇ ταυτῇ.

*Τούτων λεγομένων, ὁ ἱερεὺς ἀναγινώσκει μυστικῶς*

## τὴν Εὐχὴν τῆς Ἐκτενοῦς ἱκεσίας

*Ὁ Ἱερεύς·* Κύριε, ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ook bidden wij om ontferming, leven, vrede, gezondheid, redding, bescherming, vergeving en kwijtschelding van zonden, voor al de vrome orthodoxe christenen die in deze stad *(streek)* wonen en voor de parochianen en weldoeners van deze heilige kerk.

Ook bidden wij voor de zalige gedenkwaardige stichters van deze heilige kerk *(of klooster)*; voor alle reeds ontslapen parochianen, en voor alle rechtgelovigen die hier en overal rusten.

Ook bidden wij voor hen die goede vrucht dragen en weldoen in deze heilige en eerbiedwaardige kerk, voor hen die er werken, voor hen die er zingen en voor heel het aanwezige volk, dat van U grote en rijke ontferming verwacht.

*Ondertussen bidt de priester het* GEBED VAN DE DRINGENDE LITANIE

P Heer, onze God, aanvaard deze dringende smeekbede van Uw dienaren en ontferm U over ons volgens de overvloed van Uw ontferming. Zend Uw mededogen neer over ons en over heel Uw volk, dat van U rijke ontferming verwacht.

*ἐκφώνως:*

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*ὁ δὲ διάκονος ἄρχεται τῆς δεήσεως ὑπὲρ τῶν Κατηχουμένων.*

*Ὁ Διάκονος·* Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Οἱ πιστοί, ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν.
Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.
Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας.
Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης.
Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.
Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.
Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

*Ὁ λαός·* Σοὶ Κύριε.

## Εὐχή τῶν Κατηχουμένων

*Ὁ Ἱερεύς ἐπεύχεται·* Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων, ὁ πάντας θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τούς Κατηχουμένους, καὶ λύτρωσαι αὐτοὺς τῆς παλαιᾶς πλάνης καὶ τῆς μεθοδείας τοῦ ἀντικειμένου· καὶ προσκάλεσαι ὑτοὺς εἰς τὴν ζωὴν τὴν αἰώνιον, φωτίζων αὐτῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ συγκαταριθμῶν αὐτοὺς τῇ λογικῇ σου ποίμνῃ, ἐφ'

*Uitroep:* Want Gij zijt een ontfermende en menslievende God, en tot U zenden wij de lof: tot de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

### Catechumenen-litanie

D Catechumenen, bidt de Heer.

K Heer, ontferm U. *(en doorgezongen tijdens de volgende beden)*

D Gelovigen, laat ons bidden voor de catechumenen.
Dat de Heer Zich over hen moge ontfermen.
Hen moge onderrrichten in het woord der waarheid.
Hun het evangelie van de gerechtigheid moge openbaren.
Hen met Zijn heilige, katholieke en apostolische Kerk moge verenigen.
Red hen, ontferm U, help en bescherm hen, o God,
door Uw genade.
Catechumenen, buigt uw hoofd voor de Heer.

K Voor U, o Heer.

*Voordat hij het antimension openvouwt zegt de priester zacht*

### het Gebed voor de Catechumenen

P God onze God, Schepper en Formeerder van het heelal, Die wilt dat iedereen wordt gered en tot inzicht van de waarheid komt, zie neer op Uw dienaren, de catechumenen. Verlos hen uit de oude dwaling, en van de arglistigheid van de tegenstander. Roep hen tot het eeuwige leven. Verlicht hun zielen en lichamen, en tel hen bij Uw geestelijke kudde, waarover Uw heilige Naam is afgeroepen.

ἣν τὸ ὄνομά σου τὸ ἅγιον ἐπικέκληται. Σφραγίζων σταυροειδῶς δι᾽ τοῦ Εὐαγγελίου τὸ Εἰλητόν,

*ὁ Ἱερεύς·* Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἀναγνώστης·* Ἀμήν.

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεῦς·* Ὅσοι Κατηχούμενοι, προέλθετε. Οἱ Κατηχούμενοι, προέλθετε.

*Ἀπὸ δὲ τῆς Μέχρι τῆς Τετάρτης τῆς Δ´ Ἐβδομάδος·*
*Συναπτή τῶν πρός τὸ Ἅγιον Φώτισμα Εὐτρεπιζόμενων*

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεῦς·* Ὅσοι πρὸς τὸ Φώτισμα, προέλθετε. Εὔξασθε οἱ πρὸς τὸ Φώτισμα. Τοῦ Κυρίου δεηθῶμεν. Οἱ πιστοί, ὑπέρ τῶν πρός τό ἅγιον φώτισμα εὐτρεπιζομένων ἀδελφῶν, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν. Ὅπως Κύριος ὁ Θεός ἡμῶν στηρίξῃ αὐτούς καὶ ἐνδυναμώσῃ, τοῦ Κυρίου δεηθῶμεν. Φωτίσῃ αὐτούς φωτισμῷ γνώσεως καὶ εὐσεβείας, τοῦ Κυρίου δεηθῶμεν. Καταξιώσῃ αὐτούς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, τοῦ Κυρίου δεηθῶμεν.Ἀναγεννήσῃ αὐτούς δι᾽ ὕδατος καὶ Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν. Χαρίσηται αὐτοῖς τήν τελειότητα τῆς πίστεως, τοῦ Κυρίου δεηθῶμεν Συγκαταριθμήσῃ αὐτούς τῇ ἁγίᾳ αὐτοῦ καὶ ἐκλεκτῇ ποίμνῃ, τοῦ Κυρίου δεηθῶμεν. Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι. Οἱ πρός τό φώτισμα, τάς κεφαλάς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

*Ὁ Ἀναγνώστης·* Σοὶ, Κύριε.

*uitroep:* Opdat ook zij met ons Uw alomgeëerde en hoogverheven Naam verheerlijken: van de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

*De priester vouwt het antimension open.*

D Catechumenen, gaat allen heen;
catechumenen, gaat heen;

*Vanaf midden-vasten (wo 4e week):* DOOPLEERLINGEN LITANIE

D Gij allen die u op de verlichting voorbereidt, komt naar voren. Gij die u op de verlichting voorbereid, bidt de Heer.
Gelovigen, bidden wij voor de broeders en zusters die zich op de heilige verlichting voorbereiden, en voor hun redding, bidden wij de Heer. Dat de Heer onze God hen moge versterken en hun kracht geven. Dat Hij hen moge verlichten met het licht van kennis en vroomheid. Dat Hij hun te rechter tijd het bad der wedergeboorte, de vergeving der zonden en het kleed der onvergankelijkheid moge verlenen. Dat Hij hen door water en Geest herboren late worden. Dat Hij hun de volkomenheid van het geloof moge schenken. Dat Hij hen bij Zijn heilige, uitverkoren kudde moge tellen. Red hen, ontferm U, help en behoed hen, o God, door Uw genade. Gij die u op de verlichting voorbereidt, buigt uw hoofden voor de Heer.

K Voor U, o Heer.

*Εὐχή τῶν πρός τὸ Ἅγιον Φώτισμα Εὐτρεπιζόμενων*

*Ὁ Ἱερεύς ἐπεύχεται·* Ἐπίφανον, Δέσποτα, τό πρόσωπον σου ἐπί τούς πρός τό ἅγιον φώτισμα εὐτρεπιζομένους καὶ ἐπιποθοῦντας τόν τῆς ἁμαρτίας μολυσμόν ἀποτινάξασθαι· καταύγασον αὐτῶν τήν διάνοιαν· βεβαίωσον αὐτούς ἐν τῇ πίστει· στήριξον ἐν ἐλπίδι, τελείωσον ἐν ἀγάπῃ· μέλη τίμια τοῦ Χριστοῦ ἀνάδειξον, τοῦ δόντος ἑαυτόν ἀντίλυτρον ὑπέρ τῶν ψυχῶν ἡμῶν.

*Ὁ Ἱερεύς·* Ὅτι σύ εἶ ὁ φωτισμός ἡμῶν καὶ σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἀναγνώστης·* Ἀμήν.

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεῦς·* Ὅσοι πρός τό φώτισμα, προέλθετε. Οἱ πρός τό φώτισμα, προέλθετε.

Ὅσοι Κατηχούμενοι, προέλθετε· μὴ τις τῶν Κατηχουμένων.

Ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ Ἀναγνώστης·* Κύριε, ἐλέησον.

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεῦς·* Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*Ὁ Ἀναγνώστης·* Κύριε, ἐλέησον.

*Ὁ Διάκονος·* Σοφία.

*Ondertussen bidt de priester zacht het Gebed:*

P Laat Uw aangezicht schijnen, Meester, over hen die zich op de heilige verlichting voorbereiden, en die ernaar verlangen de onreinheid van de zonde van zich af te schudden. Verlicht hun verstand, bevestig hen in het geloof; sterk hen in de hoop, maak hen volkomen in liefde. Maak hen tot waardige ledematen van Christus, Die zichzelf heeft gegeven als losprijs voor onze zielen.

*Uitroep:* Want Gij zijt onze verlichting en tot U zenden wij de lof: tot de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

D Gij allen die u op de verlichting voorbereidt, gaat heen. Gij die u op de verlichting voorbereidt, gaat heen.

Catechumenen gaat heen;
laat niemand van de catechumenen hier blijven.

Wij gelovigen, laat ons nogmaals en nogmaals
in vrede bidden tot de Heer.

K Heer, ontferm U.

D Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.

K Heer, ontferm U.

D Wijsheid.

## Εὐχή Α΄ τῶν Πιστών

*Ὁ Ἱερεύς ἐπεύχεται·* Ὁ Θεός, ὁ μέγας καὶ αἰνετός, ὁ τῷ ζωοποιῷ τοῦ Χριστοῦ σου θανάτῳ, εἰς ἀφθαρσίαν ἡμᾶς ἐκ φθορᾶς μεταστήσας, σὺ πάσας ἡμῶν τὰς αἰσθήσεις τῆς ἐμπαθοῦς νεκρώσεως ἐλευθέρωσον, ἀγαθὸν ταύταις ἡγεμόνα τὸν ἔνδοθεν λογισμὸν ἐπιστήσας· καὶ ὀφθαλμὸς μὲν ἀπέστω παντὸς πονηροῦ βλέμματος, ἀκοὴ δὲ λόγοις ἀργοῖς ἀνεπίβατος, ἡ δὲ γλῶττα καθαρευέτω ῥημάτων ἀπρεπῶν. Ἅγνισον ἡμῶν τὰ χείλη, τὰ αἰνοῦντά σε, Κύριε· τὰς χεῖρας ἡμῶν ποίησον, τῶν μὲν φαύλων ἀπέχεσθαι πράξεων, ἐνεργεῖν δὲ μόνα τὰ σοὶ εὐάρεστα· πάντα ἡμῶν τὰ μέλη, καὶ τὴν διάνοιαν, τῇ σῇ κατασφαλιζόμενος χάριτι.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἀναγνώστης·* Ἀμήν.

## Β΄ Συναπτή τῶν Πιστών

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·* Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ Ἀναγνώστης·* Κύριε, ἐλέησον.

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεῦς·* Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*Ὁ Ἀναγνώστης·* Κύριε, ἐλέησον.

*Ὁ Διάκονος·* Σοφία.

### EERSTE GEBED DER GELOVIGEN

P *zacht* Grote en lofwaardige God, Gij hebt ons door de levendmakende dood van Uw Christus vanuit het bederf overgebracht naar de onbederflijkheid. Bevrijd al onze zintuigen uit de dodelijke greep van de hartstochten, en breng ze onder de goede leiding van ons innerlijk denken. Laat ons oog geen slechte blik op iets richten. Laat ons gehoor ontoegankelijk zijn voor nutteloze woorden en geef dat onze tong zich vrijmaakt van onbehoorlijke taal. Reinig onze lippen die U loven. Maak dat onze handen zich vér houden van slechte daden, en slechts volbrengen wat U behaagt. Bescherm al onze ledematen en ons verstand met Uw genade.

*Uitroep:* Want U komt alle heerlijkheid, eer en aanbidding: Vader, Zoon, en Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

### TWEEDE LITANIE DER GELOVIGEN

D Nogmaals en nogmaals, laat ons in vrede bidden tot de Heer.

K Heer, ontferm U.

D Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.

K Heer, ontferm U.

D Wijsheid.

## Εὐχή Β΄ τῶν Πιστῶν

*Ὁ Ἱερεύς, ἐπεύχεται·* Δέσποτα ἅγιε, ὑπεράγαθε, δυσωποῦμέν σε, τὸν ἐν ἐλέει πλούσιον, ἵλεων γενέσθαι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἀξίους ἡμᾶς ποιῆσαι τῆς ὑποδοχῆς τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, τοῦ Βασιλέως τῆς δόξης. Ἰδοὺ γὰρ τὸ ἄχραντον αὐτοῦ Σῶμα, καὶ τὸ ζωοποιὸν Αἷμα, κατὰ τὴν παροῦσαν ὥραν εἰσπορευόμενα, τῇ μυστικῇ ταύτῃ προτίθεσθαι μέλλει τραπέζῃ, ὑπὸ πλήθους στρατιᾶς οὐρανίου ἀοράτως δορυφορούμενα, ὧν τὴν μετάληψιν ἀκατάκριτον ἡμῖν δώρησαι· ἵνα, δι' αὐτῶν τὸ τῆς διανοίας ὄμμα καταυγαζόμενοι, υἱοὶ φωτὸς καὶ ἡμέρας γενώμεθα.

*Ὁ Ἱερεύς·* Κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἀναγνώστης·* Ἀμήν.

## Εἴσοδος

*Ὁ λαός· Χερουβικόν Ἦχος πλ. β΄ Νῦν αἱ Δυνάμεις ...*

*Ὁ Ἱερεύς ἐπεύχεται (τρισσῶς)·* Νῦν αἱ Δυνάμεις τῶν οὐρανῶν σὺν ἡμῖν ἀοράτως λατρεύουσιν· ἰδοὺ γὰρ εἰσπορεύεται ὁ βασιλεὺς τῆς δόξης.

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·* Ἰδοὺ θυσία μυστική, τετελειωμένη, δορυφορεῖται. Πίστει καὶ πόθῳ προσέλθωμεν, ἵνα μέτ χοι ζωῆς αἰωνίου γενώμεθα. Ἀλληλούϊα.

### TWEEDE GEBED DER GELOVIGEN

P *zacht* Heilige, algoede Heer, Die rijk aan erbarmen zijt, wij smeken U: wees ons zondaars, genadig. Maak ons waardig om Uw eniggeboren Zoon, onze God, de Koning der heerlijkheid te ontvangen. Want zie, Zijn alzuiver Lichaam en Zijn levendmakend Bloed, die op dit moment binnenkomen, zullen overgebracht worden naar dit mystieke Altaar, onzichtbaar begeleid door een menigte van hemelse scharen. Geef ons om zonder veroordeling daaraan deel te hebben, opdat deze Gaven de ogen van ons verstand verlichten, en wij zonen mogen worden van het licht en van de dag.

*Uitroep:* Volgens de Gave van Uw Christus, met Wie Gij gezegend zijt tezamen met Uw alheilige, goede en levendmakende Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

### GROTE INTOCHT

*In plaats van het Cherubijnenlied zingt het koor langzaam en plechtig:*

K *Nu aanbidden de hemelse machten ...*

*het* ***Gebed voor de Grote Intocht*** *'Niemand ...' wordt niet gebeden, maar:*

P Nu aanbidden de hemelse machten onzichtbaar met ons tezamen. Want zie de Koning der heerlijkheid treedt binnen.

D Zie het voltrokken mystieke Offer wordt door Zijn lijfwacht binnengeleid. Laat ons met geloof en verlangen naderen opdat wij deel krijgen aan het eeuwige leven. Alleluja.

*Ψαλμός Ν΄*

*Γίνεται ἡ εἴσοδος ἐν ἀπολύτῳ σιγῇ, τοῦ Ἱερέως φέροντος τὸν Ἀέρα ἐπὶ τῆς κεφαλῆς καὶ κρατῶν τὰ Ἅγια. Διότι τὰ Δῶρα εἶναι προηγιασμένα, ὁ λαὸς γονατίζει εὐλαβῶς, ἐγείρεται δὲ ὅταν ἐναποτίθενται ἐπὶ τῆς Ἁγίας Τραπέζης.*

*Ὁ Ἱερεύς·* Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

*Καὶ ἀσπασάμενος τὰ Ἅγια·* Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

*Ὁ δὲ ὁ Ἀναγῶστης ἐξακολουθεῖ τὸ διακοπὲν ᾆσμα· Πίστει καὶ πόθῳ προσέλθωμεν, ἵνα μέτοχοι ζωῆς αἰωνίου γενώμεθα. Ἀλληλούϊα.*

## τὰ Πληρωτικά

*Ὁ Διάκονος·* Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Ὑπὲρ τῶν προτεθέντων, καὶ προαγιασθέντων τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμων, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος δεηθῶμην.

*De priester, of de diaken, bewierookt het Altaar, de Proskomidie en vanuit de Poort het volk, terwijl hij zacht* ***ps. 50*** *bidt. De priester en de diaken wenden zich naar het volk en buigen hun hoofd, waarna zij naar de proskomidie gaan. Na de bewieroking van de Gaven buigen zij driemaal, bij zichzelf biddend: God, wees mij zondaar genadig en onferm U over mij. De priester legt het grote velum over zijn schouders en houdt met zijn rechterhand op zijn hoofd de heilige diskos en met zijn linker de heilige Kelk. Ze gaan door de noorddeur naar buiten, de diaken gaat vooraf met een kaars en hij wierookt zachtjes. Zij bidden slechts bij zichzelf: Door de gebeden .... Intocht in stilte. Zij gaan door de Koninklijke Poort het altaar in. Daar plaatst de priester het Heilige op het Altaar, neemt de velums weg en legt deze rechts. Daarna neemt hij de aër, bewierookt deze en bedekt het Heilige ermee. Dan bewierookt hij de Gaven drie maal. Deuren dicht. Het koor zingt ondertussen de onderbroken melodie verder:*

K Laat ons met geloof en verlangen naderen, opdat wij deel krijgen aan het eeuwige leven. Alleluja.

## VRAGENDE LITANIE

D Laten wij ons avondgebed tot de Heer voltooien.

K Heer, ontferm U. *(en na de volgende beden)*

D Voor de hier neergelegde, voorafgewijde, kostbare Gaven, bidden wij de Heer.

Dat onze menslievende God, Die deze Gaven heeft aanvaard op Zijn heilig, hemels, onstoffelijk Altaar, als een welriekende geestelijke geur, ons daarvoor de goddelijke genade en de gave van de Heilige Geest moge toezenden, bidden wij de Heer.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*Ὁ λαός·* Παράσχου Κύριε.

*Ὁ Διάκονος·* Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Της παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Ὁ λαός·* Σοὶ Κύριε.

Om bevrijding uit alle verdrukking, toorn, gevaar en nood, bidden wij de Heer.

Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.

Dat de gehele avond volmaakt, heilig, vredig en zonder zonde moge zijn, vragen wij de Heer.

K Verleen, o Heer. *Na iedere bede.*

D Om een engel van vrede, een trouwe gids en beschermer van onze zielen en lichamen, vragen wij de Heer.

Om vergeving en kwijtschelding van onze zonden en overtredingen, vragen wij de Heer.

Om al wat goed en nuttig is voor onze zielen
en om vrede voor de wereld, vragen wij de Heer.

Dat wij de overige tijd van ons leven in vrede en inkeer mogen doorbrengen, vragen wij de Heer.

Dat het einde van ons leven christelijk, smarteloos, zonder reden tot schaamte en vredig moge zijn en om een goede verantwoording voor de vreeswekkende rechterstoel van Christus, vragen wij.

Om eenheid van geloof en gemeenschap met de Heilige Geest vragend, laten wij onszelf, elkaar en geheel ons leven toevertrouwen aan Christus onze God.

K Aan U, o Heer.

## Εὐχὴ τῆς Προσκομιδῆς

*Ὁ Ἱερεὺς, ἐπεύχεται·* Ὁ τῶν ἀρρήτων καὶ ἀθεάτων μυστηρίων Θεός, παρ' ᾧ οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως, οἱ ἀπόκρυφοι· ὁ τὴν διακονίαν τῆς λειτουργίας ταύτης ἀποκαλύψας ἡμῖν καὶ θέμενος ἡμᾶς τοὺς ἁμαρτωλοὺς διὰ τὴν πολλήν σου φιλανθρωπίαν, εἰς τὸ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· αὐτός, ἀόρατε βασιλεῦ, ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός, ἔπιδε ἐφ' ἡμᾶς τοὺς ἀναξίους δούλους σου, τοὺς τῷ ἁγίῳ τούτῳ Θυσιαστηρίῳ, ὡς τῷ Χερουβικῷ σου παρισταμένους θρόνῳ, ἐφ' ᾧ ὁ μονογενής σου Υἱὸς καὶ Θεὸς ἡμῶν, διὰ τῶν προκειμένων φρικτῶν ἐπαναπαύεται Μυστηρίων· καὶ πάσης ἡμᾶς καὶ τὸν πιστόν σου λαὸν ἐλευθερώσας ἀκαθαρσίας, ἁγίασον πάντων ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, ἁγιασμῷ ἀναφαιρέτῳ· ἵνα, ἐν καθαρῷ συνειδότι, ἀνεπαισχύντῳ προσώπῳ, καὶ πεφωτισμένῃ καρδίᾳ, τῶν θείων τούτων μεταλαμβάνοντες ἁγιασμάτων, καὶ ὑπ' αὐτῶν ζωοποιούμενοι, ἑνωθῶμεν αὐτῷ τῷ Χριστῷ σου, τῷ ἀληθινῷ Θεῷ ἡμῶν, τῷ εἰπόντι· ὁ τρώγων μου τὴν Σάρκα, καὶ πίνων μου τὸ Αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ· ὅπως ἐνοικοῦντος ἐν ἡμῖν καὶ ἐμπεριπατοῦντος τοῦ Λόγου σου, Κύριε, γενώμεθα ναὸς τοῦ παναγίου καὶ προσκυνητοῦ σου Πνεύματος, λελυτρωμένοι πάσης διαβολικῆς μεθοδείας, ἐν πράξει, ἢ λόγῳ, ἢ κατὰ διάνοιαν ἐνεργουμένης· καὶ τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν, σὺν πᾶσι τοῖς ἁγίοις σου, τοῖς ἀπ' αἰῶνός σοι εὐαρεστήσασιν.

*Gebed na het plaatsen van de Goddelijke Gaven op het Altaar:*

P God der onzegbare en onzichtbare Mysteriën, in Wie alle schatten van wijsheid en kennis verborgen zijn, Gij hebt ons de Dienst van deze Liturgie geopenbaard, en in de overvloed van Uw mensenliefde hebt Gij ons, zondaars, aangesteld om U Gaven en Offers op te dragen voor onze zonden en voor de dwalingen van het volk. Gij, Onzichtbare Koning, die talloze, grote, onnaspeurlijke, roemrijke en buitengewone werken doet, zie neer op ons, Uw onwaardige dienaren, die hier voor Uw heilig Altaar staan als voor Uw Cherubijnentroon. Want hierop rust Uw eniggeboren Zoon, onze God, in deze voor ons liggende ontzagwekkende Mysteriën. En bevrijd ons en Uw gelovig volk van alle onreinheid, en heilig onze zielen en lichamen met Uw onvervreemdbare heiliging, opdat wij met een zuiver geweten, zonder reden tot schaamte en met een verlicht hart aan deze goddelijke, heiligende Gaven mogen deelnemen. Laten deze ons levend maken, en mogen wij verenigd worden met Christus Zelf, onze ware God, Die gezegd heeft: “Wie Mijn Vlees eet en Mijn Bloed drinkt, blijft in Mij en Ik in hem”. Geef, Heer, nu Uw Woord in ons woont en verkeert, dat wij een tempel mogen worden van Uw alheilige en aanbiddenswaardig Geest, terwijl wij verlost zijn van elke duivelse list, die onze daden, woorden en gedachten beïnvloedt. Dan krijgen wij deel aan de ons beloofde goederen, tezamen met al Uw heiligen, die U in alle tijden welgevallig zijn geweest.

*Ὁ Ἱερεὺς·* Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαι σὲ, τὸν ἐπουράνιον Θεὸν, Πατέρα, καὶ λέγειν·

*Ὁ Λαός·* ***Πάτερ ἡμῶν*** *ὁ ἐν τοῖς οὐρανοῖς...*

*Ὁ Ἱερεὺς·* Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
*Ὁ Λαός·* Ἀμήν.

*Ὁ Ἱερεῦς·* Εἰρήνη πᾶσι.
*Ὁ Ἀναγνώστης·* Καὶ τῷ πνεύματί σου.

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεῦς·* Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
*Ὁ Ἀναγνώστης·* Σοί, Κύριε.

*Ὁ Ἱερεύς, ἐπεύχεται·* Ὁ Θεός, ὁ μόνος ἀγαθὸς καὶ εὔσπλαγχνος, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ἔπιδε εὐσπλάγχνῳ ὄμματι ἐπὶ πάντα τὸν λαόν σου, καὶ φύλαξον αὐτόν· καὶ ἀξίωσον πάντας ἡμᾶς, ἀκατακρίτως μετασχεῖν τῶν ζωοποιῶν σου τούτων Μυστηρίων· Σοὶ γὰρ τὰς ἑαυτῶν ὑπεκλίναμεν κεφαλάς, ἀπεκδεχόμενοι τὸ παρὰ σοῦ πλούσιον ἔλεος.
*Ὁ Ἱερεὺς·* Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
*Ὁ Λαός·* Ἀμήν.

*luid:* En acht ons waardig, Heer, dat wij vrijmoedig, zonder veroordeling, het wagen U, de hemelse God, als Vader aan te roepen en te zeggen:

*Allen:* ***Onze Vader**, Die in de hemelen zijt ...*

*ondertussen maakt de diaken zijn oraar kruisgewijs vast.*

P Want van U is het koninkrijk, de kracht en de heerlijkheid: van de Vader, de Zoon, en de Heilige Geest; nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

P + Vrede zij u allen.

K En met uw geest.

D Buigt uw hoofd voor de Heer.

K Voor U, o Heer.

## GEBED VAN DE HOOFDBUIGING

*De priester buigt en zegt zacht:*

P Alleen goede en barmhartige God, Die in den hoge woont, maar neerziet op het geringe, zie met Uw barmhartig oog neer op heel Uw volk om het te behoeden. Keur ons allen waardig om zonder veroordeling aan Uw levendmakende Mysteriën deel te hebben. Want wij hebben ons hoofd gebogen voor U, van Wie wij rijke barmhartigheid verwachten.

*uitroep:* Door de genade, het medelijden en de mensenliefde van Uw eniggeboren Zoon, met Wie Gij gezegend zijt, samen met Uw alheilige, goede en levendmakende Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

*Ὁ Ἱερεῦς·* Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ, μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου, καὶ τοῦ τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

*Ὁ Ἱερεῦς, προσκυνεῖ τρὶς·* Ὁ Θεός ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἐλέησόν με. *(γ´)*

*Ὁ Διάκονος, ἢ ὁ Ἱερεῦς·* Πρόσχωμεν.

*Ὁ Ἱερεῦς·* Τὰ προηγιασμένα Ἅγια τοῖς ἁγίοις.

*Ὁ Ἀναγῶστης·* Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.
***Κοινωνικόν:*** Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος, Ἀλληλούϊα.

*De priester buigt en zegt zacht:*

P Sla acht op ons, Heer Jezus Christus onze God, vanuit Uw heilige woning en vanaf de glorietroon van Uw koninkrijk, en kom ons heiligen, Gij Die in den hoge zetelt met de Vader en hier onzichtbaar bij ons zijt. Verwaardig U om met Uw machtige hand Uw smetteloos Lichaam en Uw kostbaar Bloed aan ons te geven, en door ons aan heel het volk.

*Hierna buigen de priester en de diaken dáár waar zij staan, zeggend:*

God, wees mij zondaar genadig en ontferm U over mij. *(3x)*

D Laat ons aandachtig zijn. *en hij gaat nu het altaar binnen.*

*De priester licht de aër een weinig op, en met eerbied en groot ontzag raakt hij het levendmakend Brood aan, zonder het op te heffen.*

P Het voorafgewijde Heilige voor de heiligen.

*Gordijn dicht.*

K Eén is heilig, één is Heer: Jezus Christus; tot heerlijkheid van God de Vader. Amen. *en het Communievers: Proeft en ziet ...*

## Τὸ Κλάσμα

*Ὁ Διάκονος·* Μέλισον, δέσποτα, τὸν ἅγιον Ἄρτον.

**ΙΣ**

**ΝΙ ΚΑ**

**ΧΣ**

*Ὁ Ἱερεῦς·* Μελίζεται καὶ διαμερίζεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ μελιζόμενος, καὶ μὴ διαιρούμενος· ὁ πάντοτε ἐσθιόμενος, καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζων.

*Ὁ Διάκονος·* Πλήρωσον, δέσποτα, τὸ ἅγιον Ποτήριον.

*Ὁ Ἱερεῦς·* Πλήρωμα Πνεύματος Ἁγίου.
*Ὁ Διάκονος·* Ἀμήν.

*Ὁ Διάκονος·*Εὐλόγησον, δέσποτα, τὸ Ζέον.

*Ὁ Ἱερεῦς·* Εὐλογημένη ἡ ζέσις τῶν ἁγίων σου, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Διάκονος ἐγχέει τὸ Ζέον ἐν τῷ ἁγίῳ Ποτηρίῳ.*
*Ὁ Διάκονος·* Ζέσις Πνεύματος ἁγίου. Ἀμήν.

*De priester legt de aër en de Ster terzijde.*

d Breek, heer, het heilige Brood.

*De priester breekt het Brood in vieren, en legt de vier delen kruisgewijs op de heilige diskos:*

**IC**

**NI KA**

**XC**

P Gebroken en gedeeld wordt het Lam Gods.
Het wordt ontleed, maar niet gescheiden.
Het wordt altijd gegeten en raakt nooit op,
maar heiligt hen die eraan deelnemen.

d Vul, heer, de heilige kelk.

*De priester neemt het bovenste deel, met de letters IC, maakt ermee een kruisteken boven de heilige kelk en zegt, terwijl hij het in de heilige kelk doet:*

P Volheid van de Heilige Geest.

d Amen.

*De diaken brengt het hete water naar de priester.*

d Zegen, heer, het hete water.

P + Gezegend is de gloed van Uw heilige Gaven, immer, nu en altijd, en in de eeuwen der eeuwen. Amen.

*De diaken giet kruisgewijs voldoende heet water in de heilige kelk:*

D Gloed van geloof, vol van Heilige Geest. Amen.

*Hij zet het zeonkannetje weg en bidt terzijde bij zichzelf.*

*Ὁ δὲ Ἱερεύς καὶ ὁ διάκονος λέγουσιν εὐλαβῶς*

## τὰς Εὐχὰς τῆς ἁγίας Μεταλήψεως

*Ὁ Ἱερεύς·* Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ἀληθῶς ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον Σῶμά σου καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον Αἷμά σου. Δέομαι οὖν σου· ἐλέησόν με καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Ἰδοὺ βαδίζω πρὸς θείαν κοινωνίαν.
Πλαστουργὲ μὴ φλέξῃς με τῇ μετουσίᾳ.
Πῦρ γὰρ ὑπάρχεις τοὺς ἀναξίους φλέγον.
Ἀλλ' οὖν κάθαρον ἐκ πάσης με κηλίδος.

Τοῦ δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου.

Θεουργὸν αἷμα φρῖξον, ἄνθρωπε, βλέπων·
Ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων·
Θεοῦ τὸ σῶμα καὶ θεοῖ με καὶ τρέφει·
Θεοῖ τὸ πνεῦμα, τὸν δὲ νοῦν τρέφει ξένως.

*De priester en de diaken maken drie buigingen: God wees mij zondaar genadig.*

P/D Ik geloof, Heer, en belijd, dat Gij waarlijk de Christus zijt, de Zoon van de levende God, in de wereld gekomen om zondaars, van wie ik de eerste ben, te verlossen. Ook geloof ik dat dit Uw vlekkeloos Lichaam is, en dat Uw kostbaar Bloed. Daarom bid ik U: ontferm U over mij en vergeef mij mijn zonden, die ik gewild en ongewild, in woord en daad, bewust en onbewust begaan heb. En acht mij waardig om zonder veroordeling deel te hebben aan Uw vlekkeloze Mysteriën, tot vergeving van zonden en tot eeuwig leven.

Zie, ik nader tot de goddelijke communie:
Schepper, verzeng mij niet door deze deelname,
want Gij zijt immers vuur, dat de onwaardigen verbrandt.
Maar zuiver mij toch van elke smet.

Zoon van God, neem mij heden aan als deelgenoot van Uw mystiek Avondmaal: want Uw vijanden zal ik geenszins over dit Mysterie spreken, noch zal ik U een kus geven zoals Judas, maar zoals de rover belijd ik U: gedenk mij, Heer, in Uw Koninkrijk.

Huiver, o mens, bij het zien van het vergoddelijkend Bloed. Het is immers vuur, dat de onwaardigen verbrandt. Het Lichaam van God vergoddelijkt en voedt mij: Het vergoddelijkt mij geest en voedt op wonderbare wijze mijn denken.

Ἔθελξας πόθῳ με Χριστέ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι· ἀλλὰ κατάφλεξον πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου, καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ τρυφῆς καταξίωσον, ἵνα τὰς δύο σκιρτῶν μεγαλύνω, Ἀγαθέ, παρουσίας σου.

Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; Ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν Νυμφῶνα, ὁ χιτών με ἐλέγχει ὅτι οὔκ ἐστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν ἀγγέλων. Καθάρισον, Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, μὴ εἰς κρῖμά μοι γένοιτο τὰ ἅγια ταῦτα, διὰ τὸ ἀνάξιον εἶναί με, ἀλλ' εἰς κάθαρσιν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος, καὶ εἰς ἀρραβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα τῆς σωτηρίας μου.

*Τοῦ δείπνου σου...*

*Ὁ Ἱερεύς·* Ἰδοὺ προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν. Μεταδίδοταί μοι *(τῷ δεῖνι)* τῷ ἀναξίῳ Πρεσβυτέρῳ, τὸ τίμιον καὶ πανάγιον Σῶμα καὶ Αἷμα, τοῦ Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν.

*Ὁ νεώτερος τών Ἱερέων·* Διάκονε, πρόσελθε.

Gij bracht mij onder Uw bekoring, o Christus, door innig verlangen, en Gij veranderde mij door Uw goddelijke liefde. Verbrand nu met onstoffelijk vuur mijn zonden en maak mij waardig mij te laven aan Uw zoetheid, opdat ik jubelend Uw beide komsten moge verheerlijken, o Goede.

In de stralende luister van Uw heiligen, hoe kan ik, onwaardige, daarin binnentreden? Want als ik het waag mee naar binnen te gaan in de bruiloftszaal, maakt mijn kleed mij beschaamd, want het past niet bij een bruiloft, en geboeid zal ik door de engelen naar buiten worden geworpen. Reinig, Heer, de smetten van mijn ziel, en red mij als Menslievende.

Menslievende Meester, Heer Jezus Christus, mijn God, laten deze heilige Mysteriën mij niet tot een oordeel strekken, omdat ik onwaardig ben, maar tot reiniging en heiliging van ziel en lichaam en tot onderpand van het komende leven en koninkrijk. Het is dus goed voor mij om mij vast te hechten aan God, en mijn hoop op verlossing te stellen op de Heer.

*En weer:* *Zoon van God* ...

*Dan neemt de priester een deel van de Heilige Gaven, zeggend:*

P Zie, ik nader tot Christus, onze onsterflijke Koning en God. Het kostbaar en alheilig Lichaam en Bloed van onze Heer, God en Redder Jezus Christus wordt gegeven aan mij onwaardige priester *(N.N.)* tot vergeving van mijn zonden en tot eeuwig leven. Amen.

*En hij communiceert zorgvuldig en met vreze Gods.*

p (hiëro-)diaken, kom naderbij.

*Ὁ Διάκονος·* Ἰδοὺ προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν. Μετάδος μοι, Δέσποτα *(τῷ δεῖνι)* τῷ ἀναξίῳ Διακόνῳ, τὸ τίμιον καὶ πανάγιον Σῶμα καὶ Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

*Ὁ νεώτερος τών Ἱερέων·* Μεταδίδοταί σοι *(τῷ δεῖνι)* τῷ εὐλαβεστάτῳ Διακόνῳ, τὸ τίμιον καὶ πανάγιον Σῶμα καὶ Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

*Ὁ Διάκονος·* Ἀμήν.

## Μετάληψης τῶν Πιστῶν

*Ὁ Διάκονος·* Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.

*Ὁ λαός·* Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

d Zie, ik nader tot Christus, onze onsterflijke Koning en God. Geef mij, heer, het kostbaar en alheilig Lichaam en Bloed van onze Heer, God en Redder Jezus Christus.

p Het kostbaar en alheilig Lichaam en Bloed van onze Heer, God en Redder Jezus Christus wordt gegeven aan u, diaken *(N.N.)* tot vergeving van uw zonden en tot eeuwig leven.

*De diaken ontvangt het heilig Brood op zijn hand, gaat naar de achterkant van het Altaar waar hij het nuttigt. Dan gaat hij links van de priester, neemt de spons en veegt zijn rechterhandpalm af, boven het antimension, opdat er geen parel verloren gaat.*

*Slechts wanneer de priester met een diaken dient drinkt hij drie keer in stilte, gebruikt wat antidoron en warm water; wast handen en lippen, de Heer dankend. Dient hij alleen, dan wacht hij hiermee tot na de heilige Liturgie.*

*De priester neemt de diskos en veegt met de spons de overige delen van het Lam in de Kelk. Hierbij zegt hij zacht:* Door de gebeden ...

*De lepel wordt in de Kelk gezet, en de Kelk wordt met de communiedoek afgedekt. De heilige Deuren worden geopend; de priester geeft de Kelk aan de diaken en deze wendt zich ermee tot het volk:*

D Nadert in vreze Gods, met geloof en met liefde!

K Gezegend Hij Die komt in de Naam des Heren;
God is Heer, Hij is ons verschenen.

*Indien de gelovigen willen communiceren geeft hij de kelk aan de priester, die de communie uitreikt, terwijl de diaken de kelkdoek vasthoudt onder de kin van de gelovige en de lippen afveegt.*

*Ὁ Ἱερεύς·* Ὁ δοῦλος / ἡ δούλη τοῦ Θεοῦ *(δεῖνα)* μεταλαμβάνει τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

*Ἐν δὲ τῷ κοινωνεῖν τοὺς πιστοὺς ὁ χορὸς ψάλλει·*

*Τοῦ δείπνου σου τοῦ μυστικοῦ... Ἤ· Σῶμα Χριστοῦ ...*

*Μετὰ τὸ κοινωνῆσαι ὁ ἱερεύς·*

*Ὁ Ἱερεύς·* + Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

*Εἶτα ἀποθέτει τὸ ἅγιον Ποτήριον ἐπὶ τῆς ἁγίας Τραπέζης.*

*Ἀντὶ τοῦ «Εἴδομεν τὸ φῶς ...», Ὁ λαός·* Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου· Ἄρτον οὐράνιον, καὶ ποτήριον ζωῆς γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος· Ἀλληλούϊα· Ἀλληλούϊα· Ἀλληλούϊα.

*Ὁ διάκονος·* Ὕψωσον, δέσποτα.

*Ὁ ἱερεύς θυμιᾷ τρὶς καὶ λέγει ἠρέμα ἅπαξ·*

*Ὁ Ἱερεύς·* Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

*Ὁ Ἱερεύς·* Εὐλογητὸς ὁ Θεὸς ἡμῶν,

*ἐκφώνως δὲ στρεφόμενος πρὸς τὸν λαόν·*

*Ὁ Ἱερεύς·* πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

P De dienaar Gods *(N.N.)* ontvangt het kostbaar en alheilig Lichaam en Bloed van onze Heer, God en Redder Jezus, tot vergeving van zonden en tot eeuwig leven.

K Ontvangt het Lichaam van Christus, proeft van de Bron der onsterfelijkheid. (of - Zoon van God...)

*Na de laatste communicant zet de priester de Kelk op het Altaar en zegent het volk:*

P + Red, God Uw volk en zegen Uw erfdeel.

K Ik wil de Heer zegenen te allen tijde, Zijn lof blijve steeds in mijn mond. Proeft het Brood des Hemels en de Kelk des Levens, en ziet hoe zoet de Heer is.

*De diaken geeft aan de priester het wierookvat:*

d Verhef, heer.

*De priester bewierookt driemaal de heilige kelk:*

P Wees verheven boven de hemelen, o God;
over heel de aarde zij Uw heerlijkheid.

*Hij geeft aan de diaken de diskos met velums en ster en het wierookvat, de diaken brengt deze naar de proskomidie.*

*De priester buigt en neemt de Kelk op, zacht zeggend:*

P Gezegend is onze God,

*Hierna roept hij naar het volk gewend:*

P immer, nu en altijd, en in de eeuwen der eeuwen.

*Ὁ λαός·* Ἀμήν. Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεως Κύριε, ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

*Εἶτα ὁ διάκονος, στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·*

*Ὁ Διάκονος·* Ὀρθοί. Μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Ὁ λαός·* Σοί Κύριε.

K Amen. Vervuld zij onze mond met Uw lof, o Heer, om Uw heerlijkheid te bezingen, want Gij hebt ons waardig geacht, deel te nemen aan Uw heilige, goddelijke, onsterflijke en levendmakende Mysteriën. Bewaar ons in Uw heiliging, opdat wij de gehele dag Uw gerechtigheid overwegen. Alleluja, alleluja, alleluja.

*De priester zet de Kelk op de proskomidie waar de diaken deze bewierookt. Dan hangt de diaken het wierookvat weg en gaat naar zijn gewone plaats voor de litanie. De priester gaat terug naar het Altaar en vouwt tijdens de litanie het antimension op met de spons erin.*

## SLOTLITANIE

D Staat recht! Na onze deelname aan de goddelijke, heilige, alzuivere, onsterfelijke, hemelse en levendmakende, huiveringwekkende Mysteriën van Christus, laat ons de Heer op waardige wijze danken.

K Heer, ontferm U.

D Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.

K Heer, ontferm U.

D Vragend dat heel deze avond volmaakt, heilig, vredig en zonder zonde moge zijn, laten wij onszelf, elkaar en geheel ons leven toevertrouwen aan Christus onze God.

K Aan U, o Heer.

*Ὁ ἱερεὺς διπλώσας τὸ εἰλητὸν ἐπεύχεται*

## τὴν Εὐχὴν μετὰ τὸ πάντας μεταλαβεῖν

Εὐχαριστοῦμέν σοι τῷ Σωτῆρι τῶν ὅλων Θεῷ, ἐπὶ πᾶσιν, οἷς παρέσχου ἡμῖν ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου· καὶ δεόμεθά σου, Δέσποτα Φιλάνθρωπε· Φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου· καὶ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς φωτισμὸν ψυχῆς καὶ σώματος, εἰς βασιλείας οὐρανῶν κληρονομίαν.

*Ὁ Ἱερεῦς·* Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.Ὁ Ἀναγῶστης· Ἀμήν.

*Ταύτης τῆς ἐκφωνήσεως λεφομένης, λαμβάνει ὁ ἱερεὺς συγχρόνως τὸ ἅγιον Εὐαγγέλιον, ποιεῖ τὸ σημεῖον τοῦ σταυροῦ ἐπὶ τοῦ ἀντιμηνσίου καὶ ἐπιτίθησιν αὐτὸ ἐπ᾽αὐτοῦ.*

*Στραφεὶς δὲ πρὸς τὸν λαὸν ἐκφωνεῖ·*

*Ὁ Ἱερεύς·* ᾿Εν εἰρήνῃ προέλθωμεν.
*Ὁ λαός·* ᾿Εν ὀνόματι Κυρίου.

*Ὁ Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.
*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ ἱερεύς, ἔμπροσθεν τῆς εἰκόνος τοῦ Χριστοῦ, ἀναγινώσκει τὴν ὀπισθάμβωνον εὐχήν. Ταύτης δὲ λεγομένης ὁ διάκονος ἵσταται πρὸς τὸ μέρος τὸ δεξιὸν τοῦ ἱερέως, τὴν κεφαλὴν ὑποκεκλιμένην. Τῆς εὐχῆς πληρωθείσης ὑποστρέφει εἰς τήν πρόθεσιν.*

*Indien de priester het dankgebed nog niet gebeden heeft:*

P Wij danken U, God en Redder van het heelal, voor al het goede dat Gij ons geschonken hebt, en voor het ontvangen van het heilig Lichaam en Bloed van Uw Christus. Wij bidden U, menslievende Meester, behoed ons onder de beschutting van Uw vleugelen; en geef ons om, tot onze laatste adem, waardig deel te hebben aan Uw heiligende Gaven, tot verlichting van ziel en lichaam en tot beërving van Uw hemels koninkrijk.

*Uitroep:* Want Gij zijt onze heiliging en tot U zenden wij de lof: tot de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

*Tijdens de uitroep neemt de priester het Evangelieboek op, maakt ermee een kruisteken boven het opgevouwen antimension en legt het erop.*

*Naar het volk gewend zegt hij:*

P Laat ons in vrede heengaan.

K In de Naam des Heren.

D Laat ons bidden tot de Heer.

K Heer, ontferm U.

*De priester leest voor de Christusikoon het gebed achter de ambon. De diaken staat rechts van de priester met gebogen hoofd. Hij luistert naar het gebed met zijn oraar in de hand. Na het gebed buigt hij naar de priester en gaat door de noorddeur naar de proskomidie.*

## Εὐχὴ Ὀπισθάμβωνος

*Ὁ Ἱερεύς·* Δέσποτα Παντοκράτορ, ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας· ὁ διὰ τὴν ἄφατόν σου πρόνοιαν καὶ πολλὴν ἀγαθότητα ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας, πρὸς καθαρισμὸν ψυχῶν καὶ σωμάτων, πρὸς ἐγκράτειαν παθῶν, πρὸς ἐλπίδα ἀναστάσεως· ὁ διὰ τεσσαράκοντα ἡμερῶν πλάκας χειρίσας τὰ θεοχάρακτα γράμματα τῷ θεράποντί σου Μωσεῖ, παράσχου καὶ ἡμῖν, Ἀγαθέ, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι, τὸν δρόμον τῆς νηστείας ἐκτελέσαι, τὴν πίστιν ἀδιαίρετον τηρῆσαι, τὰς κεφαλὰς τῶν ἀοράτων δρακόντων συνθλάσαι, νικητάς τε τῆς ἁμαρτίας ἀναφανῆναι, καὶ ἀκατακρίτως φθάσαι προσκυνῆσαι καὶ τήν ἁγίαν ἀνάστασιν. Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος *(τρίς)*.

## Εὐχὴ ἐν τῷ Συστεῖλαι τὰ Ἅγια

*Ὁ Ἱερεύς·* Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας, καὶ κοινωνοὺς ἡμᾶς ποιήσας τῶν φρικτῶν σου Μυστηρίων, σύναψον τῇ λογικῇ σου ποίμνῃ, καὶ κληρονόμους ἀνάδειξον τῆς βασιλείας σου, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### Gebed achter de ambon

P Heer, Albeheerser, Gij hebt heel de schepping met wijsheid gemaakt, en in Uw onuitsprekelijke voorzienigheid en grote goedheid hebt Gij ons deze heilige dagen binnengeleid, tot reiniging van onze zielen en lichamen, tot beheersing van de hartstochten, en tot hoop op de opstanding. Gij hebt na veertig dagen de door God geschreven tafelen der wet aan Uw dienaar Mozes geschonken. Verleen ook aan ons, Algoede, om de goede strijd te strijden en de wedloop van de vasten te voleindigen. Geef dat wij het geloof ongeschonden bewaren, de koppen van de onzichtbare slangen vertreden, en ons overwinnaars over de zonde betonen, opdat wij zonder veroordeling mogen komen tot de aanbidding van de heilige opstanding. Want gezegend en verheerlijkt is Uw alomgeëerde en hoogverheven Naam: van de Vader, de Zoon en de Heilige Geest; nu en altijd, en in de eeuwen der eeuwen.

K Amen. De Naam des Heren zij gezegend van nu af tot in eeuwigheid. *(3x).*

*De priester gaat door de heilige poort naar de proskomidie, en zegt zacht:*

### het Gebed van de nuttiging der Gaven

P Heer onze God, Gij hebt ons binnengeleid in deze heilige dagen, en ons deelachtig gemaakt aan Uw ontzagwekkende Mysteriën. Verenig ons met Uw geestelijke kudde, en maak ons erfgenaam van Uw koninkrijk, immer, nu en altijd, en in de eeuwen der eeuwen. Amen.

*Ὁ διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ διάκονος συστέλλει τὰ ἅγια μετὰ φόβου καὶ πάσης ἀσφαλείας καὶ ἀπονίπτεται τὰς χεῖρας. Καὶ ἀπεκδύεται τὴν στολὴν αὐτοῦ καὶ προσκυνήσας ἀπέρχεται εὐχαριστῶν τῷ Θεῷ.*

## Ἀπόλυσις

*Ὁ Ἱερεύς εὐλογῶν τὸν λαόν, λέγει·*

*Ὁ Ἱερεύς·* + Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ' ὑμᾶς, τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*Ὁ Ἱερεύς·*Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

*Ὁ ἀναγνώστης·* Δόξα Πατρί... Καὶ νῦν... Κύριε ἐλέησον *(γ)*. Δέσποτα ἅγιε, εὐλόγησον.

*Ὁ ἱερεύς ἐλθὼν ἐν τῷ μέσῳ τοῦ ναοῦ ποιεῖ τὴν μεγάλην ἀπόλυσιν·*

*Ὁ Ἱερεύς·* Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν,
ταῖς πρεσβείαις τῆς παναχράντου
καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός·
δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ·
προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων·
ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου·
τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων·
τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων·
τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν,
τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.
τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων
Ἰωακεὶμ καὶ Ἄννης,

d Laat ons bidden tot de Heer.

*De diaken vraagt zegen en nuttigt met vreze Gods en grote aandacht de heilige Gaven, en hij wast zijn handen. Daarna trekt hij zijn gewaad uit, vereert en gaat, God dankend, heen.*

## WEGZENDING

*De priester zegent het volk, vanuit de heilige poort:*

P + De zegen des Heren en Zijn ontferming kome over u, door Zijn genade en mensenliefde, immer, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

P Eer aan U, onze God, eer aan U.

K Eer ... nu en .... Heer, ontferm U. *(3x)*. Zegen.

P Dat Christus onze ware God, *(in de Grote Week: Die vrijwillig tot het Lijden komt om ons te verlossen;)*
Zich over ons ontferme en ons redde;
door de voorspraak van Zijn ongerepte Moeder;
door de kracht van het kostbaar en levendmakend kruis;
door de bescherming van de geëerde hemelse, onlichamelijke krachten;
door de smeekbeden van de geëerde, roemrijke profeet, voorloper en doper Johannes;
van de heilige, roemrijke en alomgeprezen apostelen;
van de heilige, roemrijke en zegevierende martelaren;
van onze gewijde en Goddragende vaders;
van de heilige rechtvaardige voorouders des Heren Joachim en Anna;

τοῦ ἁγίου *(τῆς ἡμέρας - σελ. 98 )*, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν,
καὶ πάντων τῶν ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

*Ὁ λαός·* Ἀμήν.

*Ὁ Ἀναγνώστης· Ψαλμὸς ΛΓ΄ Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ ... Ψαλμός ΡΜΔ΄ Ὑψώσω σε, ὁ Θεός μου ὁ βασιλεύς μου ...*

*Ὁ Ἱερεύς διανέμει τὸ Ἀντίδωρον.*

*Εἶτα ὁ Ἱερεύς·* Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

van de heilige *(N. B. van de volgende dag! - p. 99)* van wie wij de gedachtenis vieren;
en van alle heiligen, want Hij is goed en menslievend.

K Amen.

L Eer ... Nu en ... *en leest psalm 33 en 144*

*De priester deelt het antidoron uit en zegt tot een ieder:*

P De zegen des Heren en Zijn ontferming kome over u.

Door de gebeden ...

*Indien de priester alleen heeft gediend, nuttigt hij nu met vreze Gods en zorgvuldigheid al wat over is van de heilige Communie. Hij reinigt de heilige kelk door deze tweemaal met wat wijn en één maal met water te spoelen. Na dit gedronken te hebben, veegt hij de heilige kelk droog met de spons. Hierna wast hij zijn handen en zijn lippen boven het speciale wasbekken. Hij leest de dankgebeden, doet zijn gewaden uit, kust het heilige Altaar en gaat de kerk uit, God dankend. Ondertussen worden door de lezer de dankgebeden gelezen.*

*Ἐπὰν δὲ τύχῃς τῆς καλῆς μετουσίας Τῶν ζωοποιῶν μυστικῶν δωρημάτων, Ὕμνησον εὐθύς, εὐχαρίστησον μέγα, Καὶ τάδε θερμῶς, ἐκ ψυχῆς Θεῷ λέγε·* Δόξα σοι, ὁ Θεός. Δόξα σοι, ὁ Θεός. Δόξα σοι, ὁ Θεός.

## Ἀνωνύμου

Εὐχαριστῶ σοι, Κύριε ὁ Θεός μου, ὅτι οὐκ ἀπώσω με τὸν ἁμαρτωλόν, ἀλλὰ κοινωνόν με γενέσθαι τῶν ἁγιασμάτων σου κατηξίωσας. Εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον μεταλβεῖν τῶν ἀχράντων σου καὶ ἐπουρανίων δωρεῶν κατηξίωσας. Ἀλλά, Δέσποτα φιλάνθρωπε, ὁ ὑπὲρ ἡμῶν ἀποθανών τε καὶ ἀναστάς, καὶ χαρισάμενος ἡμῖν τὰ φρικτὰ ταῦτα καὶ ζωοποιά σου Μυστήρια, ἐπ' εὐεργεσίᾳ καὶ ἁγιασμῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, δὸς γενέσθαι ταῦτα κἀμοὶ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς φωτισμὸν τῶν ὀφθαλμῶν τῆς καρδίας μου, εἰς εἰρήνην τῶν ψυχικῶν μου δυνάμεων, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς προσθήκην τῆς θείας σου χάριτος, καὶ τῆς σῆς βασιλείας οἰκείωσιν· ἵνα ἐν τῷ ἁγιασμῷ σου δι' αὐτῶν φυλαττόμενος, τῆς σῆς χάριτος μνημονεύω διὰ παντός, καὶ μηκέτι ἐμαυτῷ ζῶ, ἀλλὰ σοὶ τῷ ἡμετέρῳ Δεσπότῃ καὶ εὐεργέτῃ. Καὶ οὕτω τοῦ τῇδε βίου ἀπάρας ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, εἰς τὴν ἀΐδιον καταντήσω ἀνάπαυσιν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, καὶ ἡ ἀπέραντος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄῤῥητον. Σὺ γὰρ εἶ τὸ ὄντως ἐφετόν, καὶ ἡ ἀνέκφραστος εὐφροσύνη τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας. Ἀμήν.

## Aansporing

*Zodra ge de heerlijke Communie deelachtig zijt geworden van de levendmakende mystieke Gaven, zing dan meteen een lofprijzing en zeg vurig tot God uit het diepst van uw ziel:*

Eer aan U, o God. Eer aan U, o God. Eer aan U, o God.

## En de volgende dankgebeden (anoniem)

Ik dank U, Heer mijn God, dat Gij mij, zondaar, niet hebt verstoten, maar mij waardig geacht hebt om deelgenoot te worden van Uw heiligmakende Mysteriën. Ik dank U, dat Gij mij, onwaardige, waardig gekeurd hebt om deel te nemen aan Uw zuivere, hemelse Gaven. O, menslievende Meester, Die voor ons zijt gestorven en opgestaan, en Die ons deze huiveringwekkende en levendmakende Mysteriën geschonken hebt voor het welzijn en de heiliging van onze ziel en lichaam: Geef dat zij ook voor mij worden tot genezing van ziel en lichaam, tot verdrijving van iedere tegenstander, tot verlichting van de ogen van mijn hart, tot vrede voor mijn geestelijke vermogens, tot een geloof waarover ik me niet hoef te schamen, tot oprechte liefde, tot overvloedige wijsheid, tot het onderhouden van Uw geboden, tot vermeerdering van Uw goddelijke genade, en dat zij mij maken tot bewoner van Uw koninkrijk. Geef dat ik door deze Mysteriën in Uw heiliging bewaard blijve en dat ik mij altijd Uw genade moge herinneren en niet meer voor mijzelf leve, maar voor U, onze Meester en Weldoener. Wanneer ik op deze wijze dit leven zal verlaten in de hoop op het eeuwige leven, moge ik dan de eeuwige rust bereiken, daar waar de nimmer zwijgende stemmen der feestvierenden weerklinken en waar het oneindig genot is van hen die de onuitsprekelijke schoonheid van Uw gelaat aanschouwen. Want Gij zijt het ware verlangen en de onuitsprekelijke vreugde van hen die U liefhebben, Christus onze God, en U bezingt heel de schepping in eeuwigheid. Amen.

## Τοῦ Μεγάλου Βασιλείου

Δέσποτα Χριστέ, ὁ Θεός, Βασιλεῦ τῶν αἰώνων, καὶ Δημιουργὲ τῶν ἁπάντων, εὐχαριστῶ σοι ἐπὶ πᾶσιν, οἷς παρέσχου μοι ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων καὶ ζωοποιῶν σου Μυστηρίων. Δέομαι οὖν σου, ἀγαθὲ καὶ φιλάνθρωπε· φύλαξόν με ὑπὸ τὴν σκέπην σου, καὶ ἐν τῇ τῶν πτερύγων σου σκιᾷ· καὶ δώρησαί μοι ἐν καθαρῷ συνειδότι, μέχρις ἐσχάτης μου ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν τὴν αἰώνιον. Σὺ γὰρ εἶ ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, ὁ δοτὴρ τῶν ἀγαθῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρί καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Συμεὼν τοῦ Μεταφραστοῦ

Ὁ δοὺς τροφήν μοι σάρκα σὴν ἑκουσίως, ὁ πῦρ ὑπάρχων, καὶ φλέγων ἀναξίους, μὴ δὴ καταφλέξῃς με, μή, πλαστουργέ μου· μᾶλλον δίελθε πρὸς μελῶν μου συνθέσεις, εἰς πάντας ἁρμούς, εἰς νεφρούς, εἰς καρδίαν. Φλέξον δ' ἀκάνθας τῶν ὅλων μου πταισμάτων· ψυχὴν κάθαρον, ἁγίασον τὰς φρένας· τὰς ἰγνύας στήριξον ὀστέοις ἅμα· αἰσθήσεων φώτισον ἁπλῆν πεντάδα· ὅλον με τῷ σῷ συγκαθήλωσον φόβῳ. Ἀεὶ σκέπε, φρούρει τε καὶ φύλαττέ με ἐκ παντὸς ἔργου, καὶ λόγου ψυχοφθόρου. Ἅγνιζε, καὶ κάθαρε, καὶ ῥύθμιζέ με· κάλλυνε, συνέτιζε, καὶ φώτιζέ με· δεῖξόν με σὸν σκήνωμα Πνεύματος μόνου, καὶ μηκέτι σκήνωμα τῆς ἁμαρτίας· ἵν' ὡς σὸν οἶκον, εἰσόδῳ κοινωνίας, ὡς πῦρ με φεύγῃ πᾶς κακοῦργος, πᾶν πάθος. Πρέσβεις φέρω σοι πάντας ἡγιασμένους, τὰς ταξιαρχίας τε τῶν Ἀσωμάτων, τὸν Πρόδρομόν σου, τοὺς σοφοὺς Ἀποστόλους, πρὸς τοῖς δε, σὴν ἄχραντον ἁγνὴν Μητέρα· ὧν τὰς λιτάς, εὔσπλαγχνε, δέξαι, Χριστέ μου, καὶ φωτὸς παῖδα τὸν σὸν ἔργασαι λάτριν. Σὺ γὰρ ὑπάρχεις ἁγιασμὸς καὶ μόνος ἡμῶν, ἀγαθέ, τῶν ψυχῶν καὶ λαμπρότης, καὶ σοὶ πρεπόντως, ὡς Θεῷ καὶ Δεσπότῃ, δόξαν ἅπαντες πέμπομεν καθ' ἡμέραν.

## VAN BASILIUS DE GROTE

Meester, Christus, God, Koning der eeuwen en Schepper van het heelal, ik dank U voor alle weldaden die Gij mij verleend hebt en voor het ontvangen van Uw zuivere en levendmakende Mysteriën. Daarom bid ik U, o Goede en Menslievende: bewaar mij onder Uw hoede en in de schaduw van Uw vleugelen. En geef mij dat ik met een goed geweten tot aan mijn laatste adem waardig moge deelnemen aan Uw heiligende Gaven, tot vergeving van zonden en tot eeuwig leven. Want Gij zijt het Brood des levens, de Bron van heiliging en de Schenker van het goede en tot U zenden wij de lof, evenals tot de Vader en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen. Amen.

## VAN SYMEON DE METAFRAST

Gij Die mij vrijwillig Uw vlees tot voedsel geeft, Die vuur zijt en de onwaardigen verzengt, verbrand mij toch niet, mijn Schepper, maar dring veeleer binnen in mijn ledematen, al mijn gewrichten, mijn nieren en mijn hart. Verbrand de doornen van al mijn zonden. Reinig mijn ziel, heilig mijn denken, sterk mijn knieën en al mijn beenderen. Verlicht het vijftal van mijn zintuigen; hecht mij geheel vast aan de vreze voor U. Bescherm, bewaak en behoed mij steeds voor alle zielverdervende werken en woorden. Zuiver, reinig en leid mij. Sier mij met deugden, geef mij inzicht en verlicht mij. Maak mij tot een woonplaats alleen van de Heilige Geest en laat mij nooit meer een woning van de zonde zijn, opdat iedere boze geest en elke hartstocht voor mij vluchte als voor vuur, nu ik Uw woning ben geworden door het ontvangen van de heilige Communie. Alle Heiligen breng ik U als voorsprekers: de legerscharen der Onlichamelijke Engelen, Uw Voorloper, de wijze Apostelen en eveneens Uw ongerepte, reine Moeder. Aanvaard, o mijn barmhartige Christus, hun smeekbeden en maak mij, die U aanbid, tot een kind van het Licht. Want Gij alleen, o Goede, zijt de heiliging en de stralende glans van onze zielen, en tot U zenden wij allen elke dag de U verschuldigde lof, o God en Meester.

## Ἀνωνύμου

Τὸ Σῶμά σου τὸ ἅγιον, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, γένοιτό μοι εἰς ζωὴν αἰώνιον, καὶ τὸ Αἷμά σου τὸ τίμιον, εἰς ἄφεσιν ἁμαρτιῶν. Γένοιτο δέ μοι ἡ εὐχαριστία αὕτη εἰς χαράν, ὑγείαν καὶ εὐφροσύνην· καὶ ἐν τῇ φοβερᾷ καὶ δευτέρᾳ ἐλεύσει σου ἀξίωσόν με τὸν ἁμαρτωλὸν στῆναι ἐκ δεξιῶν τῆς σῆς δόξης, πρεσβείαις τῆς παναχράντου σου Μητρός, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

## Ἀνωνύμου εἰς τὴν Ὑπεραγίαν Θεοτόκον

Παναγία Δέσποινα, Θεοτόκε, τὸ φῶς τῆς ἐσκοτισμένης μου ψυχῆς, ἡ ἐλπίς, ἡ σκέπη, ἡ καταφυγή, ἡ παραμυθία, τὸ ἀγαλλίαμά μου, εὐχαριστῶ σοι, ὅτι ἠξίωσάς με τὸν ἀνάξιον κοινωνὸν γενέσθαι τοῦ ἀχράντου Σώματος καὶ τοῦ Τιμίου Αἵματος τοῦ Υἱοῦ σου. Ἀλλ’ ἡ τεκοῦσα τὸ ἀληθινὸν φῶς, φώτισόν μου τοὺς νοητοὺς ὀφθαλμοὺς τῆς καρδίας· ἡ τὴν πηγὴν τῆς ἀθανασίας κυήσασα, ζωοποίησόν με τὸν τεθανατωμένον τῇ ἁμαρτίᾳ, ἡ τοῦ ἐλεήμονος Θεοῦ φιλεύσπλαγχνος Μήτηρ, ἐλέησόν με, καὶ δὸς κατάνυξιν καὶ συντριβὴν ἐν τῇ καρδίᾳ μου, καὶ ταπείνωσιν ἐν τοῖς διανοήμασί μου, καὶ ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν λογισμῶν μου. Καὶ ἀξίωσόν με, μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τῶν ἀχράντων Μυστηρίων τὸν ἁγιασμόν, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος· καὶ παράσχου μοι δάκρυα μετανοίας καὶ ἐξομολογήσεως, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

*Ὁ Ἀναγνώστης·*

**Ὅτι εὐλογημένη καὶ δεδοξασμένη ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.** *(γ΄)*

### Anoniem

Uw heilig Lichaam, Heer Jezus Christus, onze God, moge mij het eeuwige leven schenken, en Uw kostbaar Bloed de vergeving van zonden. Moge deze eucharistie mij tot vreugde, gezondheid, en blijdschap zijn. En maak mij, zondaar, waardig om bij Uw ontzagwekkende Wederkomst aan de rechterhand van Uw heerlijkheid te staan, op voorspraak van uw ongerepte Moeder en van al Uw Heiligen. Amen.

### Anoniem gebed tot de Moeder Gods

Alheilige Vrouwe, Moeder Gods, licht van mijn verduisterde ziel, mijn hoop, mijn bescherming, mijn toevlucht, mijn troost, mijn vreugde, ik dank u, dat gij mij, onwaardige, waardig geacht hebt om het zuivere Lichaam en het kostbaar Bloed van uw Zoon te ontvangen. Gij, die het ware Licht hebt gebaard, verlicht de geestelijke ogen van mijn hart. Gij, die de bron der onsterfelijkheid in uw schoot gedragen hebt, maak mij weer levend, die door de de zonde gedood ben. Gij, liefdevolle Moeder van de barmhartige God, ontferm u over mij en geef mij een berouwvol en vermorzeld hart; geef nederigheid in mijn gedachten en bevrijd mij van mijn slechte overwegingen die mij gevangen houden. En acht mij waardig om tot mijn laatste adem zonder veroordeling de heiliging te ontvangen van de zuivere Mysteriën, tot genezing van mijn ziel en van mijn lichaam. En verleen mij tranen van berouw en belijdenis om u, Moeder Gods, alle dagen van mijn leven te bezingen en te verheerlijken.

*luider:*

*L* **Want gij zijt gezegend en verheerlijkt in alle eeuwen. Amen.**

*3x d.w.z. de priester herhaalt dit en tot slot nogmaals de lezer.*

*Ὁ Ἱερεύς·* **Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.**

*Ὁ Ἀναγνώστης· Ἅγιος ὁ Θεός, ἅγιος Ἰσχυρός, ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ΄)... Πάτερ ἡμῶν*
*Ὁ Ἱερεύς· Ὅτι σοῦ ἐστὶν...*

## Θεοτοκίον

Τῇ πρεσβείᾳ Κύριε, πάντων τῶν ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμίν, καὶ ἐλέησον ἡμάς, ὡς μόνος οἰκτίρμων.

Κύριε ἐλέησον *(ιβ’)* Δόξα Πατρὶ ... Καὶ νῦν...

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ἐν ὀνόματι Κυρίου, πάτερ ἅγιε, εὐλόγησον.

*Ὁ Ἱερεύς·* Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ’ ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

*Ὁ Ἀναγνώστης·* Ἀμήν.
Δόξα Πατρὶ ... Καὶ νῦν...
Κύριε ἐλέησον *(γ’)*
πάτερ ἅγιε, εὐλόγησον.

P **Nu laat Gij, Heer, Uw dienaar in vrede heengaan volgens Uw woord. Want mijn ogen hebben Uw heil aanschouwd, dat Gij bereid hebt voor het oog van alle volkeren; licht tot openbaring voor de heidenen en heerlijkheid van Uw volk Israël.**

L *Heilige God ... t/m Onze Vader ...*
P *Want van U is het Koninkrijk...*

### THEOTOKION

Door de gebeden, Heer, van alle heiligen en van de Moeder Gods, geef ons Uw vrede en ontferm U over ons, als enig barmhartige.

Heer, ontferm U. *(12x)* Eer... Nu en ...

U, eerbiedwaardiger dan de cherubijnen en onvergelijkelijk glorierijker dan de serafijnen, die ongerept God het Woord hebt gebaard, in waarheid Gods Moeder, U verheffen wij.

Vader, zegen in de Naam des Heren.

P Moge God ons barmhartig zijn en ons zegenen, moge Hij Zijn aangezicht over ons doen lichten, en Zich over ons ontfermen.

L Amen.
Eer... nu en ...
Heer, ontferm U. *(3x)*
Vader, zegen.

*Ὁ Ἱερεύς·* Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν,
ταῖς πρεσβείαις τῆς παναχράντου
καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός
καὶ πάντων τῶν ἁγίων,
ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς,
ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

*Ὁ Ἀναγνώστης·* Ἀμήν.

*Ὁ Ἱερεύς·* Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν ...

*Ὁ Ἀναγνώστης·* Ἀμήν.

## ΤΕΛΟΣ
## ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ

†

P Dat Christus onze ware God,
Zich over ons ontferme en ons redde,
door de voorspraak van Zijn ongerepte Moeder
en van alle heiligen,
want Hij is goed en menslievend.

L Amen.

P Door de gebeden van onze heilige vaders,
Heer Jezus Christus, onze God, ontferm U over ons.

L Amen.

EINDE

EN EER AAN GOD

†

## Φεβρουαρίος

13 Τοῦ Ὁσίου Πατρός ἡμῶν Μαρτινιανοῦ καὶ τῶν Ἁγίων Ἀποστόλων Ἀκύλα καὶ Πρισκίλλης.
14 Τοῦ Ὁσίου Πατρός ἡμῶν Αὐξεντίου τοῦ ἐν τῷ Βουνῷ.
15 Τοῦ Ἁγίου Ἀποστόλου Ὀνησίμου, μαθητοῦ τοῦ Ἁγίου Ἀποστόλου Παύλου.
16 Τοῦ Ἁγίου Μάρτυρος Παμφίλου.
17 Τοῦ Ἁγίου Μάρτυρος Θεοδώρου τοῦ Τήρωνος.
18 Τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Λέοντος, Πάπα Ῥώμης.
19 Τῶν Ἁγίων Ἀποστόλων Ἀρχίππου, Φιλήμονος καὶ Ἀπφίας. Τῆς Ὁσίας Φιλοθέης τῆς Ἀθηναίας.
20 Τοῦ ὁσίου Πατρός ἡμῶν καὶ θαυματουργοῦ Λέοντος, Ἐπισκόπου Κατάνης.
21 Τοῦ Ὁσίου Πατρός ἡμῶν Τιμοθέου τοῦ ἐν Συμβόλοις.
22 Μνήμη τῆς εὑρέσεως τῶν λειψάνων τῶν Ἁγίων Μαρτύρων τῶν ἐν τοῖς Εὐγενίου.
23 Τῶν Ἁγίων Ἱερομαρτύρων Πολυκάρπου, Ἐπισκόπου Σμύρνης.
24 Μνήμη (πρώτος καὶ δεύτερος) τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Ἁγίου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.
25 Τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Ταρασίου, Πατριάρχου Κωνσταντινουπόλεως.
26 Τοῦ Ὁσίου Πατρός ἡμῶν Πορφυρίου, Ἐπισκόπου Γάζης, τῆς Ἁγίας Μάρτυρος Φωτεινῆς τῆς Σαμαρείτιδος.
27 Τοῦ Ὁσίου Πατρός ἡμῶν Προκοπίου τοῦ Δεκαπολίτου.
28 Τοῦ Ὁσίου Πατρός ἡμῶν καὶ Ὁμολογητοῦ Βασιλείου, συνασκητοῦ τοῦ Ἁγίου Προκοπίου τοῦ Δεκαπολίτου.
29 Τοῦ Ὁσίου Κασσιανοῦ τοῦ Ὁμολογητοῦ, τοῦ Ρωμαίου.

## Μάρτιος

1 Τῆς Ἁγίας Ὁσιομάρτυρος Εὐδοκίας τῆς ἀπό Σαμαρειτῶν.
2 Τοῦ Ἁγίου Μάρτυρος Ἡσυχίου τοῦ Συγκλητικοῦ καὶ τῶν Ὁσίων Πατέρων ἡμῶν Νικολάου τοῦ Πλανᾶ.
3 Τῶν Ἁγίων Μαρτύρων Εὐτροπίου, Κλεονίκου καὶ Βασιλίσκου.
4 Τοῦ Ὁσίου Πατρός ἡμῶν Γερασίμου τοῦ ἐν Ἰορδάνῃ.
5 Τοῦ Ἁγίου Ὁσιομάρτυρος Κόνωνος τοῦ ἐν Ἰσαυρίᾳ.
6 Τῶν ἐν Ἀμορίῳ Τεσσαράκοντα δύο Μαρτύρων.

# FEBRUARI

13. H. Apostelen Aquila en Priscilla.
14. H. Monnik Auxentius; H. Cyrillus, Apostel der Slaven.; H. Abraham, bisschop van Charres.
15. H. Onesimus, Apostel uit de zeventig.
16. H. Martelaar Pamphilus.
17. H. Theodorus Tyron. H. Finnan, Bisschop van Lindisfarne.
18. H. Leo de Grote, paus van Rome.
19. H. Nieuw-martelares Filotheï van Athene; H. Dositheüs van Palestina.
20. H. Leo, bisschop van Catania.
21. H. Monnik Timotheüs.
22. H. Andronikus en Junia.
23. H. Hiëromartelaar Polycarpus van Smyrna.
24. 1e en 2e Vinding van het eerbiedwaardige hoofd van de H. Voorloper en Doper des Heren Johannes.
25. H. Tarasius, Patriarch van Konstantinopel. H. Walburga Abdis van Heidenheim.
26. H. Martelares Photinie, de Samaritaanse.
27. H. Belijder Prokopius de Dekapoliet.
28. H. Belijder Basilius; H. Nymphas.
29. H. Johannes Cassianus.

# MAART

1. H. Martelares, de moniale Eudokia; H. David, Bisschop van Wales. H. Switbertus
2. H. Martelaar Hesychius; H. Nicolas Planas, priester in Athene.
3. H. Martelaren Eutropius en zijn gezellen van Amasea.
4. H. monnik Gerasimus van de Jordaan.
5. H. Monnik-Martelaar Konon; H. Markus, de Askeet
6. De vinding van het Heilig Kruis en de kostbare nagels door keizerin Helena; H. 42 Martelaren van Amorium in Phrygia.

7 Τῶν ἐν Χερσῶνι ἐπισκοπησάντων Ἁγίων Ἱερομαρτύρων Ἐφραίμ, Βασιλέως, Εὐγενίου, Ἀγαθοδώρου, Ἐλπιδίου, Καπίτωνος καὶ Αἰθερίου.
8 Τοῦ Ὁσίου Πατρός ἡμῶν Θεοφυλάκτου, Ἐπισκόπου Νικομηδείας.
9 Τῶν Ἁγίων Τεσσαράκοντα Μαρτύρων τῶν ἐν Σεβαστείᾳ μαρτυρησάντων.
10 Τοῦ Ἁγίου Μάρτυρος Κοδράτου τοῦ ἐν Κορίνθῳ.
11 Τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Σωφρονίου Πατριάρχου Ἱεροσολύμων.
12 Τοῦ Ὁσίου Πατρός ἡμῶν καὶ Ὁμολογητοῦ Θεοφάνους τῆς Σιγριανῆς.
13 Μνήμη τῆς ἀνακομιδῆς τοῦ λειψάνου τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Νικηφόρου, Πατριάρχου Κωνσταντινουπόλεως.
14 Τοῦ Ὁσίου Πατρός ἡμῶν Βενεδίκτου.
15 Τοῦ Ἁγίου Μάρτυρος Ἀγαπίου καὶ τῶν σύν αὐτῷ.
16 Τοῦ Ὁσίου Πατρός ἡμῶν Χριστοδούλου, κτήτορος τῆς ἐν Πάτμῳ Ἱερᾶς Μονῆς Ἰωάννου τοῦ Θεολόγου.
17 Τοῦ Ὁσίου Πατρός ἡμῶν Ἀλεξίου, ἀνθρώπου τοῦ Θεοῦ.
18 Τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Κυρίλλου, Ἀρχιεπισκόπου Ἱεροσολύμων.
19 Τῶν Ἁγίων Μαρτύρων Χρυσάνθου καὶ Δαρείας.
20 Τῶν Ἁγίων Ἀββάδων τῶν ἀναιρεθέντων ὑπό τῶν Μαύρων ἐν τῇ Μονῇ τοῦ Ἁγίου Σάββα τοῦ Ἡγιασμένου.
21 Τοῦ Ὁσίου Πατρός ἡμῶν Ἰακώβου, Ἐπισκόπου τοῦ Ὁμολογητοῦ.
22 Τοῦ Ἁγίου Ἱερομάρτυρος Βασιλείου, Πρεσβυτέρου τῆς Ἀγκυρανῶν Ἐκκλησίας.
23 Τοῦ Ὁσίου Πατρός ἡμῶν Νίκωνος.
24 Τοῦ Ὁσίου Πατρός ἡμῶν Ἀρτέμονος, Ἐπισκόπου Σελευκείας τῆς Πισιδίας.
25 Ο ΕΥΑΓΓΕΛΙΣΜΟΣ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ.
26 Σύναξις τοῦ Ἀρχιστρατήγου Γαβριήλ.
27 Τῆς Ἁγίας Μάρτυρος Ματρώνης τῆς ἐν Θεσσαλονίκῃ.
28 Τοῦ Ὁσίου Ἱλαρίωνος τοῦ Νέου, Ἡγουμένου τῆς Μονῆς Πελεκητῆς.
29 Τῶν Ἁγίων Μαρτύρων Μάρκου, Ἐπισκόπου Ἀρεθουσίων.
30 Τοῦ Ὁσίου Πατρός ἡμῶν Ἰωάννου τοῦ συγγραφέως τῆς «Κλίμακος».
31 Τοῦ Ἁγίου Ἱερομάρτυρος καὶ θαυματουργοῦ Ὑπατίου, Ἐπισκόπου Γαγγρῶν.

7. H. Hieromartelaren van Cherson: Efrem en anderen; H. Paulus de Simpele.
8. H. Theofilaktus, Bisschop van Nikomedië.
9. H. 40 Martelaren van Sebaste.
10. H. Martelaar Kodratus van Korinthe.
11. H. Sofronius, Patriarch va Jeruzalem.
12. H. Theofanus, de Belijder; H. Symeon de Nieuwe Theoloog
13. H. Nikiforus, Patriarch van Konstantinopel.
14. H. Benedictus van Nursia.
15. H. Aristobulus, Apostel van de 70.
16. H. Christodoulos van Patmos
17. H. Alexis, de man Gods; H. Patrick van Ierland.
18. H. Kyrillus, aartsbisschop van Jeruzalem.
19. H. Chrysanthus en Daria van Rome.
20. De H. Martelaren van het Sabbasklooster; H. Cuthbert van Lindisfarne.
21. H. Jakobus, de Belijder, Bisschop van Catania.
22. H. Hiëromartelaar Basilius van Ancyra.
23. H. Martelaar Nikon.
24. H. Hiëromartelaar Artemius, Bisschop van Seleucia.
25. De Verkondiging aan onze Alheilige Vrouwe, de Moeder Gods en Altijd-Maagd Maria.
26. Aartsengel Gabriël; H. Liudger.
27. H. Martelares Matrona van Thessalonika.
28. H. Hilarion de Nieuw, Abt van Pelecete; H. Apostel Herodion.
29. H. Hiëromartelaar Markus, Bisschop van Arethusa; H. Diadochos van Photike.
30. H. Johannes van de Ladder
31. H. Hypatius de Wonderdoener, Bisschop van Gangra; H. Innokenti van Alaska.

## Ἀπρίλιος

1 Τῆς Ὁσίας Μητρός ἡμῶν Μαρίας τῆς Αἰγυπτίας.
2 Τοῦ Ὁσίου Πατρός ἡμῶν Τίτου τοῦ θαυματουργοῦ.
3 Τοῦ Ὁσίου Πατρός ἡμῶν καὶ Ὁμολογητοῦ Νικήτα, Ἡγουμένου Μονῆς Μηδικίου.
4 Πλάτωνος τοῦ Στουδίτου καὶ Ζωσιμᾶ Ὁσίων.
5 Τῆς Ἁγίας Θεοδώρας τῆς ἐν Θεσσαλονίκῃ.
6 Τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Εὐτυχίου, Πατριάρχου Κωνσταντινουπόλεως.Τῶν Ἁγίων Χριστοδούλου καὶ Ἀναστασίας τῶν ἐν Ἀχαΐᾳ μαρτυρησάντων.
7 Τοῦ Ὁσίου Πατρός ἡμῶν Σάββα τοῦ νέου τοῦ ἐν Καλύμνῳ. Τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Γεωργίου, Ἐπισκόπου Μυτιλήνης.
8 Τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα Ἡρωδίωνος.
9 Τοῦ Ἁγίου Μάρτυρος Εὐψυχίου τοῦ ἐν Καισαρείᾳ.
10 Τῶν Ἁγίων Μαρτύρων Τερεντίου, Πομπηΐου, Μαξίμου, Μακαρίου, Ἀφρικανοῦ καὶ τῶν σύν αὐτοῖς. Τῶν ἑτῶν πεντήκοντα καὶ πλέον, Ὁσιομαρτύρων Πατέρων τῆς Ἱερᾶς Μονῆς Παντοκράτορος Νταοῦ Πεντέλης.
11 Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀντίπα, Ἐπισκόπου Περγάμου.
12 Τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Βασιλείου, Ἐπισκόπου Παρίου.
13 Τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Μαρτίνου, Πάπα Ρώμης, τοῦ Ὁμολογητοῦ.
14 Τῶν Ἁγίων ἐνδόξων Ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, Ἀριστάρχου.
15 Τοῦ Ἁγίου Μάρτυρος Κρήσκεντος.
16 Τῶν Ἁγίων Μαρτύρων Γυναικῶν Ἀγάπης, Εἰρήνης καὶ Χιονίας καὶ τῶν Ἁγίων Μαρτύρων Χριστοδούλου καὶ Ἀναστασίας τῶν ἐν Ἀχαΐᾳ μαρτυρησάντων.
17 Τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Μακαρίου, Ἀρχιεπισκόπου Κορίνθου, τοῦ Νοταρᾶ.
18 Τοῦ Ὁσίου Πατρός ἡμῶν Ἰωάννου, μαθητοῦ τοῦ Ἁγίου Γρηγορίου τοῦ Δεκαπολίτου.
19 Τοῦ Ἁγίου Ἱερομάρτυρος Παφνουτίου.
20 Τοῦ Ὁσίου Πατρός ἡμῶν Θεοδώρου τοῦ Τριχινᾶ.
21 Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰανουαρίου, Ἐπισκόπου.
22 Τοῦ Ὁσίου Πατρός ἡμῶν Θεοδώρου τοῦ Συκεώτου.
23 Τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου.
24 Τῆς ὁσίας Μητρός ἡμῶν Ἐλισάβετ τῆς θαυματουργοῦ.

# APRIL

1. H. Maria van Egypte
2. H. Titus, de wonderdoener.
3. H. Niketas de Belijder
4. H. Plato de Belijder; H. Zosimas van Palestina.
5. H. Theodora van Thessalonika.
6. H. Methodius, apostelgelijke, verlichter der Slaven; H. Gregorius de Sinaiet.
7. H. Sabbas de Nieuwe van Kalymos; H. Kosmas van Etolië.
8. H. Herodion, Apostel van de 70.
9. H. Martelaar Eupsychius van Caesarea in Kappadocië.
10. H. Gregorius van Smyrna.
11. H. Antipas, Bisschop van Pergamum.
12. H. Basilius, de Belijder, bisschop van Parium; H. Maagd Anthousa.
13. H. Martinus de Belijder, Paus van Rome.
14. H. Aristarchus, Apostel van de 70.
15. H. Martelaar Kriskins.
16. H. Martelaressen Agape, Irene en Chionia; H. Martelaar Leonides.
17. H. Makarius van Korinthe; H. Zosimas van Solovjetsk.
18. H. Johannes de Hesychast; H. Athanasia van Egina.
19. H. monnik-martelaar Pafnutius van Jeruzalem.
20. H. Theodorus en Athanasius van de Meteoren.
21. H. Hiëromartelaar Januarius , Bisschop van Benevento.
22. H. Apostel Nathanaël.
23. H. Grootmartelaar, de overwinningdrager en wonderdoener Georgius.
24. H. Martelaar Sabbas, de Stratilaat.

25 Τοῦ Ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Μάρκου.
26 Τοῦ Ἁγίου Ἱερομάρτυρος Βασιλέως, Ἐπισκόπου Ἀμασείας.
27 Τοῦ Ἁγίου Ἱερομάρτυρος Συμεών, Ἐπισκόπου Ἱεροσολύμων, συγγενοῦς τοῦ Κυρίου.
28 Τῶν Ἁγίων ἐννέα Μαρτύρων τῶν ἐν Κυζίκῳ.
29 Τῶν Ἁγίων Ἀποστόλων Ἰάσωνος καὶ Σωσιπάτρου ἐκ τῶν Ἑβδομήκοντα.
30 Τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Ἰακώβου, ἀδελφοῦ τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου.

## Μάϊος

1 Τοῦ Ἁγίου Προφήτου Ἱερεμίου.
2 Μνήμη τῆς ἀνακομιδῆς τοῦ ἱεροῦ Λειψάνου τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Ἀθανασίου, Πατριάρχου Ἀλεξανδρείας.
3 Τῶν Ἁγίων Μαρτύρων Τιμοθέου καὶ Μαύρας.
4 Τῆς Ἁγίας Μάρτυρος Πελαγίας.
5 Τῆς Ἁγίας Μεγαλομάρτυρος Εἰρήνης.

25. H. Apostel en Evangelist Markus.
26. H. Hiëromartelaar Basilius , Bisschop van Amasea; de H. Maagd Glaphyra.
27. H. Hiëromartelaar Symeon.
28. H. martelaren van Kyzikos.
29. H. Jason, Apostel van de 70.
30. H. Apostel Jakobus, de zoon van Zebedeüs.

## MEI

1. H. Profeet Jeremia.
2. H. Athanasius de Grote, aartsbisschop van Alexandrië.
3. H. martelaren Timotheüs, de lezer, en zijn vrouw Maura van Egypte.
4. H. Maagd-martelares Pelagia van Tarsus.
5. H. Grootmartelares Irene van Thessalonika.